
48(16). *Ὡς ἐκ ῥίζης πικρᾶς τῆς Ἰούδα φυλῆς*
οἱ ἀπόγονοι ἐν λάκκῳ κατέθεντο
τὸν τροφέα μανναδότην Ἰησοῦν.

f. 214ᵛ 49(17). *Γραμματέων δῆμος τῷ σταυρῷ σε κρεμᾷ*
τὸν ἐν ὕδασι τὴν γῆν πρὶν κρεμάσαντα
καὶ συνέχοντα τὸ πᾶν ἐν τῇ χειρί.

50(18). *Ὁ κριτὴς ὡς κριτὸς πρὸς Πιλάτον κριτὴν*
καὶ παρίσταται καὶ θάνατον ἄδικον
κατεκρίθη διὰ ξύλου σταυρικοῦ.

51(19). *Ἰουδαίων φθόνος θανατοῖ σε, Χριστέ,*
τὸν ῥυσάμενον αὐτῶν τοὺς προπάτορας
ἐκ θανάτου καὶ δουλείας τῆς πικρᾶς.

52(20). *Ἀλαζὼν Ἰσραήλ, μιαιφόνε ψυχῶν,*
τί παθὼν τὸν Βαραββᾶν μὲν ἀπέλυσας,
τὸν σωτῆρα δὲ παρέδωκας σταυρῷ.

53(21). *Ψυχοφθόρου βλάβης καὶ ἐκ ζάλης δεινῆς,*
ποιμνιάρχα Ἰωσήφ, τοῦτον φύλαττε
ὡς φιλάνθρωπον θεὸν καὶ λυτρωτήν.

54(22). *Δεῦρο δή, μιαρέ, φονευτὰ μαθητά,*
καὶ τὸν τρόπον τῆς κακίας σου δεῖξόν μοι,
δι' οὗ γέγονας προδότης τοῦ Χριστοῦ.

f. 215ʳ 55(23). *Ὡς φιλάνθρωπός τις ὑποκρίνει, μωρὲ*
καὶ τυφλέ, πανωλεθρότατε, ἄσπονδε,
ὁ τὸ μύρον πεπραχὼς διὰ τιμῆς.

47(15). *῞Αδην* cod. 48(16). *τροφαία* cod. 49(17). *Γραμματαίων* cod. 51(19). *θανατεῖ* cod. *αὐτὸν* cod. 55(23) *ὡς τὸ μ.* cod.

56(24). *Οὐρανίου μύρου ποίαν ἔσχες τιμήν;*
τοῦ τιμίου τί ἐδέξω ἀντάξιον,
ὃς καὶ ἔλυσε κατάραν τοῦ σατάν;

57(25). *Εἰ φιλόπτωχος εἶ καὶ τὸ μύρον πωλεῖς*
κενούμενον εἰς ψυχῶν ἱλαστήριον,
πῶς χρυσοῦ ἀπεμπολεῖς τὸν φεραυγῆ;

58(26). *Κἂν ὡς πέτρα, σῶτερ, ἡ ἀκρότομος εἶ,*
κατεδέξω τὴν τομήν, ἀλλ' ἐπήγασας
ζῶντα ῥεῖθρα, ὡς πηγὴ ὢν τῆς ζωῆς.

59(27). *Μεγαλύνομέν σε, ζωοδότα Χριστέ,*
καὶ τιμῶμέν σου τὰ πάθη τὰ τίμια
καὶ τὴν ἔγερσιν δοξάζομεν σεπτῶς.

60(28). *Μεγαλύνομέν σε, ζωοδότα Χριστέ,*
καὶ τιμῶμέν σου τὸν σπόγγον καὶ κάλαμον
καὶ τὰ πάντα προσκυνοῦμέν σου, Χριστέ.

61(29). *Μεγαλύνομέν σε, ζωοδότα Χριστέ,*
τὸν παθόντα καὶ ταφέντα θελήματι
καὶ ἐγείραντα ἐξ ᾍδου τοὺς νεκρούς.

f. 215ᵛ 62(30). *Κἂν ἐγεύσω χολῆς ὁ γλυκὺς Ἰησοῦς*
καὶ τὰ πάθη γὰρ ἑκὼν σὺ ὑπέμεινας,
ἀλλ' ἀνέστης καὶ διέσωσας ἡμᾶς.

63(31). *Ἡ ζωὴ ἐν τάφῳ κατετέθης, Χριστέ,*
καὶ ἀγγέλων στρατιαὶ ἐξανίσταντο,
συγκατάβασιν ὁρῶσαι θεϊκήν.

64(32). *Ἡ ζωὴ πῶς θνήσκεις; πῶς ἐν τάφῳ καινῷ*
κατετέθης ὡς βροτὸς ὢν ἀθάνατος,
ἵνα λύσῃς τοὺς δεσμίους τῆς φρουρᾶς.

65(33). *Ἰωσὴφ εὐσχήμων καθελών, Ἰησοῦ,*
τὸ ἀκήρατον καὶ ἄχραντον σῶμά σου
ἐνετύλιξεν σινδόνι καθαρᾷ.

66(34). *Τοὺς μοχλοὺς τοῦ ᾍδου σὺ συντρίψας, Χριστέ,*
καὶ ἀνέστης ὡς θεὸς ὢν ἀθάνατος
καὶ ἐξήγειρας τοὺς πάντας ὡς θεός.

67(35). *Ἀναβὰς εἰς ὕψος, Ἰησοῦ, σταυρικῶς*
τὸν αἰχμάλωτον Ἀδὰμ ἠλευθέρωσας
καὶ τοῖς ἄνω συνηρίθμησας χοροῖς.

68(36). *Γυναιξὶ παρθένοις διελθόντες σπουδῇ*

56(24). *ὡς καὶ* cod. 57(25). *καινούμενον* cod. 58(26). *οἱ ἀκρότομος* cod.

τοῦ ἰδεῖν σου τὴν ταφὴν καὶ τὴν ἔγερσιν
ἀπαγγέλλοντες οἱ θεῖοι μαθηταί.

f. 216r 69(37). Ὡς βροτὸς ἐν τάφῳ κατετέθης, Χριστέ,
ὡς θεὸς καὶ ἐξανέστης τοῦ μνήματος
καὶ ἐρρύσω ἐκ φθορᾶς τοὺς γηγενεῖς.

70(38). Ἐπὶ ξύλου, σῶτερ, ἀνηρτήθης ἑκὼν
καὶ ἡ κτίσις θεωροῦσα ἐσείετο
καὶ ἡλίου ἐμελαίνετο τὸ φῶς.

71(39). Σὲ τὸν πάντων κτίστην καὶ θεὸν ἀληθῶς
θεωροῦσα ἡ παρθένος κρεμάμενον
ἐπωδύρετο καὶ ἔκλαιε πικρῶς.

72(40). Ἑκουσίως, σῶτερ, ἐν τῷ τάφῳ τεθεὶς
συνεγείρεις τοὺς δεσμίους, οὓς εἵλκυσεν
ὁ παμπόνηρος καὶ δόλιος ἐχθρός.

73(41). Ἐν τῷ τάφῳ, σῶτερ, σὲ ὁρῶσα νεκρὸν
πᾶσα κτίσις ἠλλοιοῦτο καὶ ἔτρεμε,
καινισθεῖσα τὴν ἀνάστασιν τὴν σήν.

74(42). Ὁ νεκροὺς ἐγείρας καὶ σημεῖα ποιῶν
καὶ θαυμάσιά τε μέγα ἐξαίσια,
πῶς εἰσέδυς ἐν τῷ τάφῳ ὡς βροτός.

75(43). Μεγαλύνομέν σε, εὐεργέτα Χριστέ,
ὁ ἐκ γῆς δημιουργήσας τὸν ἄνθρωπον
καὶ φθαρέντα αὖ διέσωσας αὐτόν.

f. 216v 76(44). Ἰουδαίοις ῥάβδος ὁ σταυρὸς πληκτική,
εὐσεβέσι βακτηρία δὲ δείκνυται,
δι᾽ ὃν ἔφη ὁ Δαβὶδ ὁ προορῶν.

77(45). Κατὰ σοῦ ῥομφαία ἐστιλβοῦτο, Χριστέ,
καὶ ῥομφαία ἰσχυροῦ μὲν ἀμβλύνεται
καὶ ῥομφαία δὲ τροποῦται τῆς Ἐδέμ.

78(46). Προσκυνῶ τὰ πάθη, ἀνυμνῶ τὸν σταυρὸν
μεγαλύνω τὴν ταφήν σου, φιλάνθρωπε,
δι᾽ ὧν λέλυμαι παθῶν φθοροποιῶν.

79(47). Ἡ ἀμνὰς τὸν ἄρνα βλέπουσα ἐν σταυρῷ
ταῖς αἰκίαις βαλλομένη ἠλάλαζε
συγκινοῦσα καὶ τὸ ποίμνιον βοᾶν.

80(48). Μυροφόροι κόραι μετὰ μύρων προσῆλθον
τοῦ μυρίσαι σου τὸ σῶμα τὸ ἄχραντον

72(40). *τάφῳ τῷ σῷ τ. συνεγείρας* cod. 73(41). *καὶ νισθήσα* cod. 76(44). *Ἰουδαῖοι ῥάβδον* cod. *Ἰουδαίοις ῥάβδος* scripsi. 79(47). *ἐκεῖθεν* cod. *αἰκίαις* scripsi *βοᾶ* cod. 80(48). *καινὸν* cod.

καὶ τὸν τάφον ἐθεάσαντο κενόν.

81(49). Μεγαλύνομέν σε, ὦ ἁγία Τριάς,
τὸν Πατέρα, τὸν Υἱὸν σὺν τῷ Πνεύματι,
τὴν θεότητα ἀτμήτως προορῶν (sic).

82(50). Τῆς Τριάδος ὁ εἷς ἐν σαρκὶ δι᾽ ἡμᾶς
ἐπονείδιστον ὑπέμεινε θάνατον·
φρῖξον, ἥλιε, καὶ τρέμε καὶ ἡ γῆ.

f. 217r 83(51). Μακαρίζομέν σε, Θεοτόκε ἁγνή,
ἡ ἰδοῦσα τὸν υἱόν σου σταυρούμενον
καὶ τὰ σπλάγχνα ὀδύνουσα μητρικῶς.

84(52). Ἡ παρθένος κόρη θρηνωδοῦσα βοᾷ·
Ἥλιε τῆς δόξης ἀθάνατε,
μὴ βραδύνῃς ἀναστῆναι ἐκ νεκρῶν.

Σ τ ά σ ι ς β′

1. Ἄσωμεν, Χριστέ, ἐπιτάφιον καὶ θεῖον ᾆσμα,
ἵνα ἀναστάσει τῇ ἐκ νεκρῶν
ἀγαλλιασώμεθα σὺν αὐτῷ.

2. Ἔφριξεν ἡ γῆ καὶ ὁ ἥλιος, σῶτερ, ἐκρύβη,
πέτραι δὲ ὡς εἶδον κρεμάμενον
ἐπὶ τοῦ σταυροῦ σε ἐρρήγνυντο τῷ φόβῳ.

f. 209r 3. Πίπτεις πρὸς τὴν γῆν ψυχοτρέφουσαν καὶ θνήσκεις,
κόκκε, φέρεις δὲ πολύχουν τὸν ἄσταχυν
πλήσαντα τοῦ πόλου καὶ γῆς τὰς ἀποθήκας.

4. Θνήσκεις ὁ ποιμὴν σκορπισθέντων σῶν προβάτων,
πάλιν ἀναστάντος σου δὲ πιστοῖς
εἰς τὸ ὄρος ὤφθης τῶν Ἐλαιῶν.

5. Ἔφριξαν ὁμοῦ τῶν ἀγγέλων στρατιαί σου κατιδοῦσαι
τὸ καινὸν τοῦ πάθους μυστήριον
πῶς ἐν ξύλῳ θνήσκειν ἑκὼν ἐπέσχες, σῶτερ;

6. Ζάλη χαλεπή, σῶτερ, εἴληφε τὴν κτίσιν πᾶσαν
βλέπουσαν τῆς δόξης τὸν κύριον
ἄπνουν, κεκρυμμένον ἐν πενιχρῷ μνημείῳ.

7. Ζῆλον ἀληθῆ Ἰωσὴφ ἐζήλωσε χερσὶ τολμήσας
καθελεῖν τοῦ ξύλου τὸ ἄχραντον
σῶμά σου καὶ θάψαι νεκροπρεπῶς ἐν τάφῳ.

8. Ἥλιος ἰδὼν σὲ τὸ ἄδυτον φῶς παρεισδῦναι

83(51). *ὀδυνοῦσα* cod. 3 *ἀπὸ θήκας* cod.

αἴφνης τὰς ἀκτῖνας ἠμαύρωσε
σκοτισθεὶς τῷ δέει τοῦ σωτηρίου πάθους.

9. Θάμβει καὶ χαρᾷ συνεχόμενοι προφῆται πάντων
τῶν δεσμῶν τοῦ Ἅδου λυτρούμενοι
αἶνον ἐπεκρότουν τῇ θεϊκῇ ταφῇ σου.

f. 209v 10. Ἠχόν σου ποδῶν οἱ προπάτορες ἐνωτισθέντες
ἐν τῷ Ἅδῃ χαίροντες ἔκραζον
τῇ συγκαταβάσει τῇ σῇ δόξα, Χριστέ μου.

11. Ἴδοιμι κἀγὼ τὴν ἀνάστασίν σου, ζωοδότα,
δεῖξαί μοι χαρᾶς εὐαγγέλια
ἐν δευτέρῳ παρ᾽ ἀγγέλου φωτεινοῦ.

12. Στόμασι πολλῶν παρηγγέλθη προφητῶν, Παρθένε,
νέκρωσις ἐμοῦ καὶ ἀνάστασις,
ἃ συνεῖσα μὴ ἀθύμει τοῦ λοιποῦ.

13. Τί μοι προφητῶν λόγοι τάφον σου βλεπούσῃ, σῶτερ·
πλέον ἀνιᾷ με τὸ ὁραθὲν
ἢ θαρρύνει ἀγαθῶν τὸ ἐλπισθέν.

14. Ὥσπερ ἐν γαστρὶ τῆς σπορᾶς συνείληφάς με δίχα,
οὕτω καὶ τοῦ τάφου προειμένον
βλέψεις ἀναστάντα θεοπρεπῶς.

15. Θρύπτει μου τὸν νοῦν τὸ πολὺ τῆς ἀθυμίας, Λόγε·
ὅθεν οὐδὲ λόγοις τῶν προφητῶν
στέγω παραμύθιον προσλαβεῖν.

16. Ἔχεις τοιγαροῦν πρὸς τοῖς λόγοις τὰς αὐτῶν ἐκβάσεις
τελεσθείσας, πάναγνε, ἐν ἐμοί
μὴ οὖν καὶ τὴν ἔγερσιν ἀπιστῇς.

f. 210r 17. Ἵνα τὸν κλαυθμὸν ὑπαλλάξαί μοι πολλαὶ προρρήσεις
ἔργα τε δηλοῦντα τὴν ἔγερσιν
φύσις δὲ μὴ φέρει τὸν κοπετόν.

18. Ὄρους Ἰσαὰκ Ἀβραὰμ ζῶντα λαβὼν ἐδίδου
κήτους Ἰωνᾶς τε ὑπεξελθὼν
πάλαι τὴν ἀνάστασιν τὴν ἐμήν.

19. Νέφος τὴν ἐμὴν ἀμφεκάλυψε καρδίαν λύπης,
σὺ δ᾽ ἐξανατείλας τοῦ μνήματος
σκέδασον αὐτὸ θείῳ σου φωτί.

20. Ἔλαβες χαρὰν τῇ συλλήψει μου τῆς ἀγγελίας,
δεύτερα δὲ νῦν τῇ ἐγέρσει μου
λήψει εὐαγγέλια χαρμονῆς.

18. Ὄρους cod.

21. Ἔφριξεν ἡ γῆ καὶ ὁ ἥλιος, σῶτερ, ἐκρύβη
ἐπὶ σταυροῦ σε θεωροῦσα κρεμάμενον,
δύναντα ἐν τάφῳ σωματικῶς.

22. Ὃν οἱ οὐρανοὶ καὶ οἱ ἄγγελοι ἐξεθαμβοῦντο,
τάγματα ἀγγέλων ἐξέστησαν
θεωροῦντά σου τὴν σταύρωσιν, σωτήρ.

23. Σταύρωσιν, σωτήρ, ἀνυμνοῦμεν καὶ δοξολογοῦμεν
τίμια τὰ πάθη, Χριστέ, σεπτῶς,
f. 210v τὴν ταφήν τε καὶ ἀνάστασιν σαφῶς.

24. Ὦ Τριὰς ἁγία, σὲ ὑμνοῦμεν πάντες
τὴν ὑπεράρχιον καὶ φύσιν θεαρχικήν,
Πατέρα Υἱὸν καὶ Πνεῦμα εὐλογητόν.

25. Σὲ τὴν Θεοτόκον τὴν μητέρα καὶ παρθένον,
πόκε ἀκατάφλεκτε μείνασα,
σῶζε πάντας τοὺς προστρέχοντας εἰς σέ.

26. Ἄξιον ἐστὶ μεγαλύνειν σε τὸν ζωοδότην,
τὸν μοχλοὺς καὶ πύλας συντρίψαντα
καὶ τοῦ Ἅδου καθελόντα τὴν ἰσχύν.

27. Ἄξιον ἐστὶ μεγαλύνειν σε τὸν ζωοδότην,
τὸν ἐπὶ τοῦ ξύλου ὑπνώσαντα
καὶ τριήμερος ἀνέστη ὡς θεός.

28. Ἄξιον ἐστὶ μεγαλύνειν σε τὸν εὐεργέτην,
ὃς τὰ πάθη καθυπέστης, ἀθάνατε,
δι᾽ ἡμᾶς οὓς ἠγάπησας ὡς πατήρ.

29. Στέφανον, Χριστέ, τὸν ἀκάνθινον περιπλεχθέντα
σῇ τῇ κεφαλῇ ἐναπέθηκαν
Ἰουδαίας ὁ παράνομος λαός.

30. Χθὲς ἐπὶ σταυροῦ ἀναρτώμενος, ἄναρχε Λόγε,
ἔσεισας τῆς γῆς τὰ θεμέλια
καὶ διεδονήθησαν τὰ πέρατα τῆς γῆς.

f. 211r 31. Ἥλιος ἰδών σου τὸ ἄχραντον καὶ θεῖον πνεῦμα
ἐπὶ ξύλου, σῶτερ, κρεμάμενον
ἐσκοτίζετο μὴ φέρων καθορᾶν.

32. Βλέπουσα, Χριστέ, ἡ ὑπέραγνος παρθενομήτωρ
τὴν σφαγήν σου, σῶτερ, τὴν ἄδικον
ἀνεβόα τί τὸ ξένον ὃ ὁρῶ.

21. δύναντος cod. 22. θεωρῶντα cod. 23. σεπτὸς cod. 24. εὐλογητὸς cod.
30. ἀναρτούμενος cod. 31. καθ᾽ ὁρᾶν cod.

33. Τέκνον ποθεινόν, ὁ τοῖς ὕδασι τὴν γῆν κρεμάσας,
πῶς ἐν ξύλῳ νῦν κρέμασαι,
ἀνεβόα σοι ἡ μήτηρ θρηνωδῶς.

34. Σῶτερ καὶ Υἱέ, ἡ ἀπείρανδρος ἁγνὴ Παρθένος
ἔκλαιεν ὁρῶσα τὸ κάλλος σου
καὶ τὸ εἶδος τῆς μορφῆς σου σκυθρωπόν.

35. Θέαμα φρικτὸν θεωρήσασα ἡ κτίσις, Λόγε,
ὀλοφυρομένη ἐσείετο
καὶ αἱ πέτραι διερρήγνυντο διχῶς.

36. Θρῆνον ἱερὸν ἀναλάβωμεν σὺν Νικοδήμῳ,
ὡς αἱ μυροφόροι γυναῖκες πρίν,
ἵνα καὶ τὸ χαῖρε ἀκούσωμεν σὺν αὐταῖς.

37. Ὕπνωσας, Χριστέ, ἀφυπνίζων τοὺς ἐν τοῖς μνημείοις
καὶ νεκρὸν τὴν ὄψιν ἀπέδειξας
τὸν φθοράν μοι προξενήσαντα τὸ πρίν.

f. 211v 38. Κάλαμον, Χριστέ, σοῦ τῇ δεξιᾷ δέδωκαν, νῶτα (sic)
τοῦ συντρίψαι τούτους, παγκράτιστε,
ὡς τοὺς πάλαι Σοδομίτας τῷ πυρί.

39. Λόγχην καὶ ταφήν σήν, τὸν σπόγγον τε τὰς φραγγελώσεις,
σὴν τὴν σταύρωσιν ὑμνῶ καὶ δοξάζω σου
τὴν τριήμερον ἀνάστασιν, Χριστέ.

40. Δράμετε σπουδῇ γυναιξὶ γὰρ μυροφόροις κόραις
σὺν τοῖς θείοις ἀποστόλοις τὴν ἀνάστασιν εἴπατε,
ἔφη ἄγγελος ταῖς θείαις γυναιξί.

41. Λάζαρον νεκρὸν ἐξανέστησας τῷ ῥήματί σου
τετραήμερον ἐκ τάφου, ἀθάνατε,
ἵνα ἴδωσι τὴν δύναμιν τὴν σήν.

42. Ὦ Χριστὲ σωτήρ μου, ὁ θαυμάσια ποιῶν μεγάλα,
πῶς ἑκὼν εἰσῆλθες ἐν μνήματι, ἀθάνατε,
πῶς δὲ ἐλογίσθης ἐν τοῖς νεκροῖς;

43. Ὦ Χριστὲ σωτήρ μου, μεγαλύνω σου τὰ θεῖα πάθη,
ἅπερ ἑκουσίως ὑπέμεινας
δι' ἡμᾶς τοὺς ὑπαχθέντας τῇ φθορᾷ.

44. Ὄξος καὶ χολήν σε πεπότικεν ἀγνώμων δῆμος,
τὴν γλυκεῖαν [...] καὶ ποτίσαντα
τούτους ἐν ἐρήμῳ τερατουργῷ δυνάμει.

38. τὸ πυρὶ cod. 44. ἀγνώμον cod.

f. 212r 45. Ἥλιος ὁρῶν σε ἀθάνατον σαρκὶ παθόντα
καὶ ἀκτῖνας φόβῳ συνέστειλε
καὶ ἡ γῆ ἐσείσθη τρόμῳ πολλῷ.

46. Ἥλιε παντάρχα, εἰ καὶ θάνατος ἐκάλυψε νῦν
. . . .
ἀλλὰ σῴζεις με καὶ γῆθεν ἀνιστᾷς.

47. Δόξα σοι, Χριστέ, τῷ παθόντι καὶ ταφέντι
καὶ τοῖς αἰχμαλώτοις κηρύξαντι
τοῦ Ἀδὰμ τὴν ἐπανόρθωσιν, Χριστέ.

48. Δόξα, βασιλεῦ, τῷ σταυρῷ καὶ τῇ ταφῇ σου,
δι' ὧν τὸν ἐχθρὸν ἀπενέκρωσας
τῶν ἀνθρώπων τὸν πολέμιον, σωτήρ.

49. Δόξα, Ἰησοῦ, ἐμπτυσμοῖς τοῖς τῶν παθῶν σου,
δόξα σοι τοῖς θείοις ῥαπίσμασι,
δι' ὧν σῴζεις τὸ ἀνθρώπινον, Χριστέ.

50. Δόξα τῷ σταυρῷ, δόξα σου τοῖς ἥλοις, Λόγε,
δόξα τῷ καλάμῳ, τῇ λόγχῃ σου,
δι' ὧν ἀθανατίζεις με, σωτήρ.

51. Ἥλιος ἰδὼν ἐπὶ ξύλου σε ἀναρτηθέντα,
τὰς ἀκτῖνας, Λόγε, συνέστειλε
καὶ ἡ γῆ τῷ τρόμῳ συνείχετο.

52. Τέκνον μου ὡραῖον παγγλυκύτατον, Υἱέ μου,
τέκνον, πῶς ὑπέμεινας τοὺς ἐμπτυσμούς,
λόγχην τε καὶ σταύρωσιν, Ἰησοῦ.

f. 212v 53. Ἄρνα σε σφαγέντα ὡς ἑώρακεν ἡ τέξασα Χριστὸν
κατετρύχετο τοῖς πόνοις ἡ ἄχραντος
ὡς ἀμίαντος ἀμνὰς τοῦ Ἰησοῦ.

54. Ὕδωρ ἐν τῷ γάμῳ πρὶν μετέβαλες εἰς οἶνον, σῶτερ,
νῦν δὲ πῶς ὁ θάνατος κατέσχεν
ὁ παμφάγος καὶ πικρὸς τὸν Ἰησοῦν.

55. Ὄμματα πολλάκις τυφλῶν ἤνοιξας ὁ πλάστης καὶ θεὸς
. . . .
καὶ πῶς ὄμματα ἐκλείσθησαν τὰ σά;

56. Ῥοῦν αἱμάτων στήσας ἀνεζώωσας αἱμόρρουν τὴν νεκρὰν
. . . .
καὶ πῶς αἵματά σου ῥέουσιν αἱ πληγαί;

45. πολλῶν cod. 46. versus secundus abest. 47. τὸν Ἀδὰμ cod. 52. παγγλυκύτατον cod. ἐμπισμοὺς cod. 54. κάτεσχεν cod. 55. versus secundus abest. 56. versus secundus abest.

57. *Λάζαρον ἐκ τάφου ἐξανέστησας*
προστάγματι τῷ σῷ καὶ πῶς τάφῳ σε
συγκλείω, ὦ ἀθάνατε βασιλεῦ.
58. *Ἤγειρας ἐκ τάφου τῇ σταυρώσει σου*
νεκροὺς τοὺς ὑπὸ γῆν τεθνηκότας
καὶ τοῦ Ἅδου καταλύσας τὴν ἰσχύν.
59. *Ὅρα μιαρόν, σκολιώτατον γένος Ἑβραίων,*
ἔγνως τὴν ἀνέγερσιν τοῦ Χριστοῦ,
διατί κατέκρινας τὸν Χριστόν;
60. *Χλαῖναν ἐμπαιγμοῦ τὸν κοσμήτορα πάντων ἐνδύσεις,*
ὃς τὸν οὐρανὸν κατεσκεύασε
καὶ τὴν γῆν ἐκόσμησε θαυμαστῶς.
f. 213r 61. *Ῥάπισμα χειρὸς Χριστοῦ δέδωκας τῇ σιαγόνι,*
τὸν χειρὶ τὸν ἄνθρωπον πλάσαντα
καὶ τὰς πύλας θλάσαντα τοῦ θηρός.
62. *Ἄξιον ἐστὶ μεγαλύνειν σε, ἄναρχον κράτος,*
Πάτερ, Λόγε, Πνεῦμα τὸ ἅγιον,
διατήρησον ἡμᾶς τοὺς εὐσεβεῖς.
63. *Ἄξιον ἐστὶ μακαρίζειν σε τὴν Θεοτόκον,*
ἡ ἰδοῦσα τὸν υἱόν σου κρεμάμενον
καὶ τὰ σπλάγχνα διετέτρωτο πικρῶς.

f. 217r

Σ τ ά σ ι ς γ΄

1. *Αἱ γενεαὶ πᾶσαι | σὲ δοξολογοῦμεν*
Χριστὸν τὸν ζωοδότην.
2. *Αἱ γενεαὶ πᾶσαι | ὑμνοῦμεν τὴν ταφήν σου,*
Χριστὲ παμβασιλεῦ μου.
3. *Αἱ γενεαὶ πᾶσαι | σὲ δοξολογοῦμεν*
Χριστὸν τὸν βασιλέα.
4. *Λόγχην τε καὶ σπόγγον, | τοὺς ἥλους, ἐμπτυσμούς τε*
τὸν κάλαμον τιμῶμεν.
5. *Ὕβρεις, πορφυροῦν τε | ἱμάτιον φορέσας,*
μακρόθυμε παντάναξ.
6. *Μυροφόροι κόραι | κηρύξατε συμφώνως*
ἀνάστασιν τὴν θείαν.
7. *Ἰωσὴφ εὐσχήμων, | ἐντύλιξον σινδόνι*
τὸ σῶμα τοῦ Κυρίου.
8. *Ἰωσὴφ εὐσχῆμον, | κήδευσον τὸ σῶμα*
Χριστοῦ τοῦ ζωοδότου.

f. 217v 9. *Μύρα γὰρ προχέει | Ἰωσὴφ εὐσχήμων*
τῷ σώματι Κυρίου.
10. *Μυροφόροι κόραι | ἦλθον τοῦ μυρίσαι*
τὸ ἄχραντόν σου σῶμα.
11. *Μυροφόροι κόραι | μύρα τῇ ταφῇ σου*
προσέφερον, οἰκτίρμον.
12. *Σμύρνη καὶ ἀλόη | ἤλειψαν τὸ σῶμα*
τὸ ἄχραντόν σου, σῶτερ.
13. *Ὁ νεκροὺς ἐγείρας, | Χριστέ μου ζωοδότα,*
καὶ τοὺς τυφλοὺς φωτίσας.
14. *Ὁ νεκροὺς ἐγείρας, | Χριστέ μου, ἐκ τοῦ τάφου*
καὶ τοὺς πιστοὺς χορτάσας.
15. *Ὁ νεκρὸν ἐγείρας | ἐκ τάφου τεταρταῖον*
πῶς ἔδυσεν ἐν τάφῳ;
16. *Ὁ τὴν γῆν κρεμάσας | τοῖς ὕδασί σου, σῶτερ,*
κρέμασαι ἐπὶ ξύλου.
17. *Ἑκουσίως ἔδυς | ἐν καινῷ μνημείῳ*
λύσαι τοὺς πεπτωκότας.
18. *Ὦ Χριστὲ σωτήρ μου, | ῥῦσαι καὶ θανάτου*
πικροῦ τῆς ἁμαρτίας.
19. *Δός μοι λόγον, Λόγε | μὴ σιγῶν παρέλθῃς,*
ἐβόα ἡ Παρθένος.
f. 218r 20. *Ὁ εὐσχήμων, σῶτερ, | σὺν τῷ Νικοδήμῳ*
τὸ σῶμά σου κηδεύει.
21. *Ἀποστόλων δῆμος | μετὰ τῆς Θεοτόκου*
θρῆνον πρὸς σὲ ποιοῦσιν.
22. *Σὲ περιχυθεῖσα | δάκρυα προχέει*
ἡ πάναγνός σου μήτηρ.
23. *Ὕμνον τῇ ταφῇ σου | προσφέρομεν, οἰκτίρμον,*
τὸν μόνον ζωοδότην.
24. *Τὴν ἄβυσσον σοφίας | φροντίδος ἠξιοῦτο*
. . . .
25. *Ἑβραίων παρανόμων | αἱ σκολιαὶ πορεῖαι*
τρίβολοι καὶ παγίδες.
26. *Παράφρονος Ἰούδα | ὁ δόλος ἐν καρδίᾳ*
κακὰ τεκταινομένου.
27. *Πέτρος γὰρ ἠρνεῖτο | κατὰ τοῦ διδασκάλου*
οὐκ οἶδα τὸν σωτῆρα.
28. *Οὐκ οἶδα τὸν σωτῆρα· | τί γὰρ με τυρανεῖτε,*
ὦ ἄνομοι Ἰουδαῖοι ;

29. *Τοὺς ἐκτελοῦντας σῶζε | τὰ τίμιά σου πάθη,*
υἱὲ θεοῦ τοῦ ζῶντος.

f. 218v 30. *Καθελὼν τοῦ ξύλου | ὁ Ἀριμαθαίας*
σινδόνι ἐνειλήσας | ἐν μνήματι κηδεύει.

31. *Ὦ Χριστὲ σωτήρ μου, | ἔλαβες τὰ πάθη*
εἰς σωτηρίαν πάντων.

32. *Ὦ Χριστὲ σωτήρ μου, | πῶς σε Ἰουδαῖοι*
ἀπέκτειναν ἀδίκως.

33. *Αἱ γενεαὶ πᾶσαι | ὑμνοῦμέν σου τὰ πάθη*
καὶ τὴν ταφήν σου, Λόγε.

34. *Τέτρωται τὰ σπλάγχνα, | Χριστέ, ἡ σὲ τεκοῦσα*
νεκρούμενον ὁρῶσα.

35. *Σταυρῷ νῦν προσηλοῦσιν | τὸν μάννα ἐν ἐρήμῳ*
ὀμβρήσαντα τοῖς πᾶσιν.

36. *Τὴν θάλασσαν ξηράνας | καὶ ἥλιον ὀμβρήσας*
καὶ Ἰσραὴλ ὁ λύσας | νῦν ἄμορφος ὁρᾶται.

37. *Τὸν Ἰσραὴλ χορτάσας | καὶ τυφλὸν ὀμματώσας*
νῦν ἄπνους καθορᾶται.

38. *Νῦν ἄπνους καθορᾶται | ὁ Λάζαρον ζωώσας*
καὶ παραλύτους σφίγξας.

39. *Ὁ Λάζαρον ζωώσας | καὶ γῆν θεμελιώσας*
νῦν νέκυς καθορᾶται.

40. *Πρεσβεύεις τὸν υἱόν σου | εἰς σωτηρίαν πάντων,*
Παρθένε θεομῆτορ.

ΠΑΡΑΤΗΡΗΣΕΙΣ

Στάσις α´

4. *Ὥσπερ λέων, σῶτερ, ἀναπίπτων ὕπνοῖς*: Ἡ εἰκὼν τοῦ κοιμωμένου λέοντος ἐλήφθη ἐκ τῆς Παλαιᾶς Διαθήκης (Γένεσις 49,9): *ἀναπεσὼν ἐκοιμήθη ὡς λέων καὶ ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν;* Ἡ βιβλικὴ φράσις καὶ εἰς στιχηρὸν τοῦ β´ ἦχου τῶν αἴνων τοῦ Μ. Σαββάτου: *Ἀναπεσὼν κεκοίμησαι ὡς λέων· τίς ἐγερεῖ σε, βασιλεῦ; ἀλλ' ἀνάστηθι αὐτεξουσίως.* Πβ. τὸ ἐν χρήσει ἔντυπον Τριῴδιον. Ὁ συνθέτης τοῦ μεγαλυναρίου ἐπηρεάσθη πιθανώτατα ἐκ τοῦ στιχηροῦ αὐτοῦ.

11. Πβ. Κοσμᾶ τοῦ Μελῳδοῦ, Τριῴδιον τῆς Μ. Παρασκευῆς, ᾠδὴ η´, 3: *Ἀπὸ βλεφάρων, μαθηταί, νῦν ὕπνον, ἔφης, Χριστέ, τινάξατε*... (ἔντυπον Τριῴδιον).

19. Ἡ παρομοίωσις τοῦ προδότου Ἰούδα μὲ γέννημα ἐχίδνης ὑπάρχει εἰς τὸ δοξαστικὸν τοῦ ἑσπερινοῦ τῆς Μ. Πέμπτης, ἦχος πλ. β´: *Γέννημα ἐχιδνῶν, ἀληθῶς ὁ Ἰούδας*... (ἔντυπον Τριῴδιον). Ἡ σκληρὰ φράσις εἶναι βιβλική: *Ὄφεις, γεννήματα ἐχιδνῶν*... (Ματθ. 23, 33). Ἀλλὰ καὶ οἱ δύο τελευταῖοι στίχοι τοῦ μεγαλυναρίου αὐτοῦ στηρίζονται εἰς τὸν στίχον: *Ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμὸν* τοῦ Ψαλμοῦ 40 (41),10, ὁ ὁποῖος μάλιστα εἰσάγει τὸ β´ ἰδιόμελον τῶν ἀποστίχων τοῦ Ὄρθρου τῆς Μ. Πέμπτης καὶ ἀκούεται ψαλλόμενος. Τοῦτο εἶναι μία ἐπὶ πλέον ἀπόδειξις ὅτι οἱ ποιηταὶ τῶν μεγαλυναρίων στηρίζονται εἰς ψαλμικὰς καὶ ὑμνογραφικὰς φράσεις τῶν ἐν χρήσει ἀκολουθιῶν καὶ ὀλιγώτερον εἰς ἄλλα κείμενα.

22. Πβ. Κοσμᾶ τοῦ Μελῳδοῦ, Κανὼν εἰς τὴν Χριστοῦ γέννησιν, ᾠδὴ α´,1: *Ῥεύσαντα ἐκ παραβάσεως | θεοῦ τὸν κατ' εἰκόνα γενόμενον, | ὅλον τῆς φθορᾶς ὑπάρξαντα... αὖθις ἀναπλάττει | ὁ σοφὸς δημιουργὸς* (ἔντυπον Μηναῖον Δεκεμβρίου 25).

23 - 30. Τὰ ὀκτὼ αὐτὰ τροπάρια ἀποτελοῦν διάλογον μεταξὺ τῆς Θεοτόκου καὶ τοῦ νεκροῦ Ἰησοῦ. Τὸ στοιχεῖον τοῦτο τοῦ διαλόγου δὲν ὑπάρχει εἰς τὰ ἐν χρήσει σήμερον ἐγκώμια τοῦ Μ. Σαββάτου, τὰ ὁποῖα εἶναι ἐλεύθερα καὶ δὲν ἔχουν καμμίαν νοηματικὴν ἢ ἄλλην σύνδεσιν μεταξύ των. Ἀντιθέτως, ἡ ὕπαρξις διαλόγου εἰς τὰ παρόντα μεγαλυνάρια ὑποδηλοῖ ὅτι ὁ ἄγνωστος ποιητὴς ἐπεχείρησε νὰ συνθέσῃ μίαν ἑνότητα. Τὸ στοιχεῖον τοῦ διαλόγου, ποὺ ἀπαντᾶται καὶ εἰς τὴν β´ στάσιν (τροπάρια 11-20), πάλιν μεταξὺ τῆς Θεοτόκου καὶ τοῦ Ἰησοῦ, εἶναι, ἀσφαλῶς, ἀπὸ τὰ ὡραιότερα εὑρήματα τῆς παρούσης

συλλογῆς μεγαλυναρίων, ἀλλὰ δὲν εἶναι πρωτότυπον. Τὴν ἔμπνευσίν του ὁ ἀνώνυμος ποιητὴς ὀφείλει εἰς τὸ μεγαλειῶδες, πράγματι, τετραῴδιον τοῦ Μ. Σαββάτου τοῦ Κοσμᾶ τοῦ Μελῳδοῦ, ἡ θ' ᾠδὴ τοῦ ὁποίου εἶναι μία δραματικὴ συνομιλία τοῦ Ἰησοῦ μὲ τὴν Μητέρα του. Πβ. Θεοχ. Δετοράκη, Κοσμᾶς ὁ Μελωδός. Βίος καὶ ἔργο, Θεσσαλονίκη 1979 (= Πατριαρχικὸν Ἵδρυμα Πατερικῶν Μελετῶν - Ἀνάλεκτα Βλατάδων, 28), σσ. 152 - 154.

39. Ὁ κῶδιξ παρέχει τὴν γραφὴν *κοσμοκτήτωρ*. Προέκρινα τὴν γραφὴν *κοσμοκτίτωρ*, διότι ἡ φράσις *κτίστης τοῦ κόσμου* ἀπαντᾶται συχνὰ εἰς τὴν ὑμνολογίαν τῶν θείων παθῶν. Βλ. προχείρως τὰ ἰδιόμελα τῶν ἀποστίχων τῆς Μ. Παρασκευῆς, ὅπου κατὰ πλησμονὴν ἀπαντῶνται φράσεις, ὅπως *κτίστης τοῦ κόσμου* ἢ *πᾶσα ἡ κτίσις* κ.τ.ὅ.

42(10): Τοῦτο αὐτούσιον καὶ εἰς τὰ ἔντυπα, τὸ πρῶτον τῆς α' στάσεως.

43(11): Τὸ πάθος τοῦ παγκάλου Ἰωσὴφ εἶναι ἡ βιβλικὴ ὑποτύπωσις τοῦ πάθους τοῦ Κυρίου. Εἰς τὸ συναξάριον τῆς Μ. Δευτέρας, τῆς ὁποίας ἡ ἀκολουθία εἶναι κατὰ μέγα μέρος ἀφιερωμένη εἰς τὸν πάγκαλον Ἰωσήφ, ἀναγινώσκομεν: *Εἰκὼν δὲ οὗτος* (ὁ Ἰωσὴφ) *Χριστοῦ, ὅτι καὶ ὁ Χριστὸς παρὰ τῶν ὁμοφύλων Ἰουδαίων φθονεῖται, καὶ παρὰ τοῦ μαθητοῦ τριάκοντα ἀργυρίοις πιπράσκεται, καὶ εἰς τὸν ζοφώδη καὶ σκοτεινὸν λάκκον, τὸν τάφον ἐγκλείεται*. Ἐνταῦθα ἡ Θεοτόκος, βλέπουσα τὸν καθημαγμένον χιτῶνα τοῦ Ἰησοῦ, θρηνεῖ, ὅπως ἄλλοτε ὁ Ἰακώβ, ὅταν ἐπληροφορήθη τὴν ἀπώλειαν τοῦ ἠγαπημένου Ἰωσήφ. Εἶναι γνωστὴ ἡ ἀφήγησις τῆς Βίβλου: *Λαβόντες δὲ τὸν χιτῶνα τοῦ Ἰωσὴφ ἔσφαξαν ἔριφον αἰγῶν καὶ ἐμόλυναν τὸν χιτῶνα αἵματι. Καὶ ἀπέστειλαν τὸν χιτῶνα τὸν ποικίλον καὶ εἰσήνεγκαν τῷ πατρὶ αὐτῶν*... (Γένεσις 37, 31 - 33).

— *τὸν χιτῶνα τοῦ ὡραίου ἐν βροτοῖς*: Εἰς τὰ μεγαλυνάρια τοῦ Μ. Σαββάτου ὁ Χριστὸς προσδιορίζεται ὡς *ὡραῖος κάλλει παρὰ πάντας βροτούς*, κατὰ τὸν Ψαλμὸν 44(45),3: *ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων*.

44(12). Τοῦτο καὶ ἐν τοῖς ἐντύποις, ἐλαφρῶς παρηλλαγμένον.

45(13). Καὶ τοῦτο εἰς τὰ ἔντυπα.

48(16). Καὶ τοῦτο εἰς τὰ ἔντυπα, ἔνθα ἡ ἀρχὴ *Ὡς πικρᾶς ἐκ κρήνης*...

50(18). Ὁμοίως εἰς τὰ ἔντυπα.

52(20). Ὁμοίως εἰς τὰ ἔντυπα.

53(21). Ἀκατανόητον τὸ παρὸν τροπάριον. Ὁ εὐσχήμων Ἰωσὴφ καλεῖται νὰ φυλάττῃ τὸν Ἰησοῦν *ψυχοφθόρου βλάβης καὶ ἐκ ζάλης δεινῆς*(!), ἐνῷ λογικῶς ἔπρεπε ὁ Ἰωσὴφ νὰ παρακαλῇ τὸν Ἰησοῦν διὰ τὴν ἀποτροπὴν τῶν δεινῶν τούτων. Ἴσως τὸ ῥῆμα ἐγράφη ἐκ παραδρομῆς ἢ παρανοήσεως: *φύλαττε*, ἀντὶ *ἱκέτευε* ἤ τι ἄλλο.

54(22). Τοῦτο ἐπίσης εἰς τὰ ἔντυπα.

55(23) - 58(26). Ταῦτα καὶ εἰς τὰ ἔντυπα.

63(31). Ἐλαφρὰ παραλλαγὴ τοῦ ὑπ' ἀρ. 42(10).

65(33). Πβ. τὸ ἀπολυτίκιον τοῦ Μ. Σαββάτου: *Ὁ εὐσχήμων Ἰωσὴφ | ἀπὸ τοῦ ξύλου καθελὼν | τὸ ἄχραντόν σου σῶμα, | σινδόνῃ καθαρᾷ εἱλήσας καὶ ἀρώμασιν | ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο*.

66(34). Καὶ τοῦτο συντίθεται ἀπὸ γνωστὰ ὑμνολογικὰ στοιχεῖα. Πβ. τὸ τροπάριον τῶν αἴνων πλ. α' ἤχου: *Κύριε, τοὺς μοχλοὺς τοὺς αἰωνίους συντρίψας καὶ δεσμὰ διαρρήξας τοῦ μνήματος ἀνέστης*...

71(39). Πβ. τὸ ἰδιόμελον β' ἤχου τῶν ἀποστίχων τῆς Μ. Παρασκευῆς: *Σήμερον σὲ θεωροῦσα ἡ ἄμεμπτος Παρθένος | ἐν σταυρῷ, Λόγε, ἀναρτώμενον | ὀδυρομένη μητρῷα σπλάγχνα | ἐτέτρωτο τὴν καρδίαν πικρῶς*...

73(41). Πβ. τὸ ἰδιόμελον α' ἤχου τῶν ἀποστίχων τῆς Μ. Παρασκευῆς: *Πᾶσα ἡ κτίσις ἠλλοιοῦτο φόβῳ | θεωροῦσά σε ἐν σταυρῷ κρεμάμενον, Χριστέ*...

77(45) - 79(47): Ταῦτα καὶ ἐν τοῖς ἐντύποις, μέ τινας παραλλαγάς.

Στάσις β'

3. Ἡ εἰκὼν τοῦ κόκκου τοῦ σίτου, ποὺ ἀποθνήσκει εἰς τὰ σπλάγχνα τῆς γῆς διὰ νὰ καρποφορήσῃ ἀπαντᾶται εἰς τὴν Καινὴν Διαθήκην: *ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει* (Ἰωάνν. 12, 24). Τὸ αὐτὸ θέμα καὶ εἰς τὸ ἀκόλουθον τροπάριον τῆς α' στάσεως, ἐκ τῶν ἐντύπων: *Ὥσπερ σίτου κόκκος ὑποδὺς κόλπους γῆς | τὸν πολύχουν ἀποδέδωκας ἄσταχυν, | ἀναστήσας τοὺς βροτοὺς τοὺς ἐξ Ἀδάμ*. Εἶναι ἡ ὑποτύπωσις τοῦ θανάτου καὶ τοῦ θριάμβου τοῦ Χριστοῦ.

11 - 20. Διάλογος μεταξὺ τῆς Θεοτόκου καὶ τοῦ Ἰησοῦ. Βλ. ἀνωτέρω, **23 - 30** τῆς α' στάσεως.

19. *Νέφος τὴν ἐμὴν ἀμφεκάλυψε καρδίαν λύπης*. Ὁ λόγιος συνθέτης τῶν μεγαλυναρίων ἐνθυμεῖται ἐνταῦθα τὴν γνωστὴν ὁμηρικὴν φράσιν *θανάτου δὲ μέλαν νέφος ἀμφεκάλυψεν* (Ἰλ. Π 350).

25. Ἀκατάφλεκτος εἶναι ἡ βάτος, ὄχι ὁ πόκος, ποὺ εἶναι ἔνδροσος!

32. Πβ. τὸ γνωστότατον τροπάριον τοῦ Μεγάλου Ἀποδείπνου (ἦχος α'): *Σφαγήν σου τὴν ἄδικον, Χριστέ, ἡ Παρθένος βλέπουσα, | ὀδυρομένη ἐβόα σοι· Τέκνον γλυκύτατον, πῶς ἀδίκως θνήσκεις*...

52. Τὰ τροπάρια 52 - 58 δὲν ὑπακούουν εἰς τὸ μετρικὸν σχῆμα τοῦ εἱρμοῦ τῆς β' στάσεως. Φαίνονται ἀδιαμόρφωτα, τοὐλάχιστον κατὰ τὸν πρῶτον στίχον των, ὁ ὁποῖος εἶναι συνήθως ὑπέρμετρος.

60. Τοῦτο καὶ ἐν τοῖς ἐντύποις.

Στάσις γ'

19. Πρβλ. τὸ κοντάκιον τοῦ Ρωμανοῦ. Εἰς τὸ πάθος τοῦ Κυρίου καὶ εἰς τὸν θρῆνον τῆς Θεοτόκου (Ν. Β. Τωμαδάκη, Ρωμανοῦ τοῦ Μελῳδοῦ Ὕμνοι, τ. Β', σσ. 141 - 172, ἐκδίδει Ν. Λιβαδάρας), α' οἶκος. Ἡ γνῶσις ἐν τούτοις τοῦ ρωμανικοῦ κοντακίου δὲν φαίνεται νὰ εἶναι ἄμεσος. Τὸ κοντάκιον καὶ ὁ α' οἶκος σῴζονται εἰς τὰ λειτουργικὰ βιβλία καὶ ἀναγινώσονται εἰς τὸν Ὄρθρον τῆς Μ. Παρασκευῆς, δηλ. εἰς τὴν ἀκολουθίαν τῶν Παθῶν: *Τὸν ἴδιον ἄρνα ἡ ἀμνὰς θεωροῦσα....* Βλ. ἔντυπον Τριῴδιον. Ἡ φράσις *δός μοι λόγον, Λόγε, | μὴ σιγῶν παρέλθῃς με | ὁ ἁγνὴν τηρήσας με* περιέχεται εἰς τὸν οἶκον τοῦτον καὶ συνεπῶς ἦτο γνωστὴ εἰς τὸν ἀνώνυμον συνθέτην τῶν ἐγκωμίων ἐξ ἀναγνωστικῆς καὶ ἀκουστικῆς ἐμπειρίας.

25. Τοῦτο καὶ εἰς τὰ ἔντυπα.

30. Περιέργως, τὸ τροπάριον τοῦτο ἀποτελεῖται ἀπὸ τέσσαρα κῶλα, ἀντὶ τῶν τριῶν, ποὺ συνήθως ἔχει ἡ γ' στάσις. Τὸ φαινόμενον θὰ ἠδύνατο νὰ ἑρμηνευθῇ ὡς κακὴ παράδοσις τοῦ κειμένου ἐξ ἀπροσεξίας τοῦ κωδικογράφου. Ἀλλ' ἡ παρουσία τοῦ αὐτοῦ σχήματος καὶ εἰς τὸ ὑπ' ἀρ. 36, δημιουργεῖ πρόβλημα, καθὼς τὸ φαινόμενον, ἐξ ὅσων γνωρίζω, ἀπαντᾷ διὰ πρώτην φορὰν εἰς τὰ τροπάρια τοῦ εἴδους αὐτοῦ. Εἶναι, ἄραγε, κατάλοιπα ἀδιαμορφώτων εἰσέτι μεγαλυναρίων παλαιοτέρου τύπου, πρὶν ἢ τυποποιηθοῦν εἰς τροπάρια τριῶν κώλων; Δὲν εἶναι εὔκολος ἡ ἀπάντησις.

ΘΕΟΧΑΡΗΣ Ε. ΔΕΤΟΡΑΚΗΣ

ΣΥΜΠΛΗΡΩΣΙΣ ΤΟΥ ΕΠΙΣΚΟΠΙΚΟΥ ΚΑΤΑΛΟΓΟΥ ΤΗΣ ΝΗΣΟΥ ΡΟΔΟΥ ΚΑΤΑ ΤΟΝ ΙΓ' ΦΘΙΝΟΝΤΑ ΚΑΙ ΤΟΝ ΙΔ' ΑΡΧΟΜΕΝΟΝ ΑΙΩΝΑ

ΜΑΡΤΥΡΙΑΙ ΕΚ ΤΩΝ ΕΠΙΣΤΟΛΩΝ ΓΡΗΓΟΡΙΟΥ ΚΥΠΡΙΟΥ ΚΑΙ ΜΑΞΙΜΟΥ ΠΛΑΝΟΥΔΗ

Διὰ τῆς παρούσης μελέτης συμπληροῦται ὁ ἐπισκοπικὸς κατάλογος τῆς νήσου Ρόδου, καὶ δὴ καὶ καθ' ὃ χρονικὸν διάστημα οὐδεὶς μητροπολίτης ἐν αὐτῇ ἀναφέρεται[1], διὰ δύο ἀνωνύμων ἀρχιερέων, συμφώνως πρὸς τὰς μαρτυρίας ἐπιστολῶν τοῦ πατριάρχου Γρηγορίου τοῦ Κυπρίου (1283 - 1289) καὶ τοῦ λογίου Μαξίμου τοῦ Πλανούδη (1255/60 - 1305).

Ἐν τῇ ρξγ' (= 117 κατὰ Lameere) ἐπιστολῇ αὐτοῦ, ἀπευθυνομένῃ πρὸς τὸν μέγαν λογοθέτην Θεόδωρον τὸν Μουζάλωνα[2], ὁ πατριάρχης Γρηγόριος ὁ Κύπριος ἀναφέρει ὅτι παρεχώρησε μοναστήριον ἐν Ρόδῳ, Ροδίνην καλούμενον, ὡς μετόχιον εἰς τοὺς ἐκ τοῦ Πατριαρχείου Ἱεροσολύμων ἐλθόντας. Οἱ Ρόδιοι ὅμως ἐπληροφόρησαν τὸν πατριάρχην ὅτι τὸ μοναστήριον δὲν ἦτο πατριαρχικόν, ἀλλ' ἀνῆκεν εἰς τὸν μητροπολίτην Ρόδου. Ἦτο δὲ ἐξ ἀρχῆς βασιλικόν, δι' ὃ καὶ ἔπρεπε νὰ ἐκδοθοῦν βασιλικὰ προστάγματα, τὸ ἓν πρὸς τοὺς Ἱεροσολυμίτας, τὸ δ' ἕτερον πρὸς τὸν μητροπολίτην Ρόδου, ὥστε οὗτος «ἱλαρῶς καὶ τοὺς ἀνθρώπους ἐπὶ τὸ παραμικρὸν ἄοικον βασιλικὸν μοναστήριον ἥκοντας ἰδεῖν, ἱλαρῶς καὶ τὴν δεσποτικὴν βασιλικὴν δέξασθαι προσταγήν», ὡς ἀναγράφεται ἐν τῇ ἐπιστολῇ.

Πότε χρονολογεῖται ἡ ὡς ἄνω ἐπιστολὴ δὲν εἶναι γνωστόν. Ὡς ἐκ τούτου ἀδυνατοῦμεν νὰ προσδιορίσωμεν ἐπακριβῶς ἔστω καὶ ἓν ἔτος τῆς ἀρχιερατείας τοῦ μητροπολίτου τούτου τῆς Ρόδου, ὁ ὁποῖος κατὰ τὸ κείμενον ἦτο ἤδη ἐγκατεστημένος ἐν τῇ νήσῳ. Ἡ χειροτονία του ἑπομένως πιθανῶς

---

1. Ἤτοι ἀπὸ τοῦ ἔτους 1274 ἕως τοῦ ἔτους 1350· βλ. Ἐμμ. Ι. Κωνσταντινίδου, Ἡ ἐν Δωδεκανήσῳ ἐκκλησία, Α' Ἱστορικὴ ἐπισκόπησις (ἀπ' ἀρχῆς μέχρι σήμερον). Β' Αἱ μητροπόλεις καὶ οἱ ἐπισκοπικοὶ κατάλογοι, Ἀθῆναι 1970, σ. 51· πρβλ. καὶ Ἠ. Κόλια, Τὰ Δωδεκάνησα, 1204 - 1522, ΙΕΕ 9, 1979, σ. 291.

2. Κατὰ τὴν ἔκδοσιν ὑπὸ Σ. Εὐστρατιάδου, Ἐκκλησιαστικὸς Φάρος Δ', 1909, σ. 123. Πρβλ. καὶ V. Laurent, Les Regestes des Actes du Patriarcat de Constantinople, I (iv), 1971, ἀρ. 1539. Βλ. καὶ W. Lameere, La tradition manuscrite de la correspondance de Grégoire de Chypre, patriarche de Constantinople (1283 - 1289), Bruxelles - Rome 1937, σσ. 7 - 8, 201.

νὰ ἐγένετο καὶ πρὸ τῆς ἐνάρξεως τῆς πατριαρχίας τοῦ Γρηγορίου, νὰ ἐξετάθη δὲ καὶ μετ' αὐτήν. Βέβαιον παραμένει ὅτι μεταξὺ τῶν ἐτῶν 1283 καὶ 1289 ὑπῆρχε μητροπολίτης Ρόδου καὶ ὡς πρὸς τὸ χρονικὸν τοῦτο διάστημα συμπληρωτέος ὁ ἐπισκοπικὸς τῆς νήσου κατάλογος δι' ἀνωνύμου μητροπολίτου.

Πρός τινα μητροπολίτην Ρόδου ἐσχετίζετο διὰ στενῆς φιλίας καὶ ὁ Μάξιμος Πλανούδης, ἤδη προτοῦ χειροτονηθῇ ἐκεῖνος ἀρχιερεὺς τῆς ἐν λόγῳ μητροπόλεως. Φίλος κοινὸς ἀμφοτέρων ἦτό τις Μακρὸς (ἢ Μακρῆς ;), διὰ τὸν ὁποῖον ὁ Ρόδου *ἦν τὰ πάντα τῷ ἀνδρὶ — τά τ' ἄλλα καὶ τὰ εἰς τὸν δεσπότην τὸν πατριάρχην ἀναφερόμενα*, ὡς πληροφορεῖ ὁ Πλανούδης ἐν τῇ κε' ἐπιστολῇ αὐτοῦ, τὴν ὁποίαν πέμπει «Γρηγορίῳ πρεσβυτέρῳ μονάζοντι τῷ αὐτοῦ ὁμιλητῇ»[1].

Διὰ τῆς ἐπιστολῆς παρακαλεῖ ἐπὶ πλέον τὸν Γρηγόριον, ὅπως γίνῃ ἐν Κωνσταντινουπόλει κηδεμὼν καὶ φίλος τοῦ Μακροῦ, μιμούμενος τὸν Ρόδου, ἀπουσιάζοντα προφανῶς τῆς βασιλευούσης, καὶ τὸν ἴδιον, εὑρισκόμενον ἴσως μακρὰν αὐτῆς. Ὁ παραλήπτης τῆς ἐπιστολῆς Γρηγόριος ἦτο ἱερομόναχος, καὶ οὐχὶ «natu major monachus» ὡς ἑρμηνεύει ὁ Treu[2], καὶ μαθητὴς τοῦ Πλανούδη[3].

Ποῖος ὅμως ἦτο ὁ συνιστώμενος Μακρὸς δὲν γνωρίζομεν. Ἄλλωστε ἡ διὰ μικροῦ «μ» ἀναγραφὴ τοῦ ὀνόματος ὑπὸ τοῦ Treu ἐν τῇ ἐπιστολῇ παρωδήγησε τοὺς μελετητὰς ἐκλαβόντας τὴν φράσιν: *ὑπὲρ μακροῦ μακρὰ γράφειν οὐ δεῖ· τὸ γὰρ τούτου μῆκος ἀρκεῖ* μόνον ὡς λογοπαίγνιον, ἐνῷ ἡ γενικὴ μακροῦ ἀναφέρεται εἰς ἐπώνυμον[4]. Ἀλλὰ καὶ πότε ἐπέμφθη ἡ ἐπιστολὴ εἶναι ἄγνωστον. Ὑπάρχουν ἐν τούτοις στοιχεῖα, τῶν ὁποίων ἡ ἐξέτασις δύναται νὰ ὁδηγήσῃ εἴς τινα χρονικὸν προσδιορισμόν. Ὁ παραλήπτης τῆς ἐπιστολῆς Γρηγόριος εἶναι, ὡς ἐλέχθη, ἱερομόναχος. Ἔχει ἄρα ὑπερβῇ τὸ τριακοστὸν

---

1. Κατὰ τὴν ἔκδοσιν M. T r e u, Maximi monachi Planudis epistulae, Vratislaviae 1890, σ. 42. Περὶ τῆς καταρτίσεως καὶ δημοσιεύσεως τοῦ ἐπιστολαρίου τοῦ Πλανούδη, ὡς καὶ περὶ τῆς ἑτοιμαζομένης ὑπὸ P. L. M. Leone νέας, κριτικῆς, ἐκδόσεως αὐτοῦ βλ. τοῦ αὐτοῦ L e o n e, Per una nuova edizione critica delle epistole di Massimo Planude (I), Byzantion LIV, 1984, σσ. 193 - 219 (ἐν σσ. 193 - 195) [καὶ (II), Orpheus N. S. IX, 1988, σσ. 102 - 108]. Παλαιότερον περὶ τῶν ἐπιστολῶν ὁ C. W e n d e l, RE XX/2, 1950, στ. 2213 - 2215.

2. M. T r e u, ἔνθ' ἀνωτ., σ. 215.

3. Ὁ Γρηγόριος οὗτος εἶναι ὁ ἀναδειχθεὶς τὸ 1312 εἰς ἀρχιεπίσκοπον Βουλγαρίας. Ἀνῆκεν εἰς τὸν περὶ τὸν Ἀνδρόνικον Β' καὶ τὸν πατριάρχην Ἰωάννην ΙΒ' Κοσμᾶν (1294 - 1303) κύκλον τῶν λογίων ἀνδρῶν καὶ ἴσως συγκατελέγετο εἰς τοὺς λεγομένους «πνευματικοὺς» τοῦ βασιλέως. Τὸ ἔτος γεννήσεως τοῦ Γρηγορίου τοποθετεῖται μεταξὺ τῶν ἐτῶν 1260 - 1270. Βλ. Σ τ α ύ ρ ο υ 'Ι. Κ ο υ ρ ο ύ σ η, Γρηγορίου ἀρχιεπισκόπου Βουλγαρίας (ιγ'/ιδ' αἰ.) ἐπιστολαὶ μετά τινων βιογραφικῶν ἐξακριβώσεων, ΕΕΒΣ ΜΕ', 1981 - 1982, σσ. 516 - 558.

4. Ὁ Μακρὸς οὗτος δὲν λημματογραφεῖται ὡσαύτως καὶ ἐν PLP (= Prosopographisches Lexikon der Palaiologenzeit).

ἔτος τῆς ἡλικίας του, ἀφοῦ ἡ εἰς πρεσβύτερον χειροτονία ἐπετρέπετο μετὰ τὸ ἔτος τοῦτο[1]. Ἐὰν δὲ δεχθῶμεν τὸ ἔτος γεννήσεως τοῦ Γρηγορίου ἐντὸς τοῦ προταθέντος διαστήματος τῶν ἐτῶν 1260 - 1270[2], τότε ἀβιάστως δυνάμεθα νὰ τοποθετήσωμεν τὴν ἀποστολὴν τῆς ἐπιστολῆς εἰς τὰ μετὰ τὸ 1290 ἔτη, πιθανώτερον δὲ μετὰ τὸ 1295. Ὁ Γρηγόριος εἰσέτι διὰ νὰ θεωρῆται κατάλληλος ὅπως ἀναλάβῃ τὴν κηδεμονίαν τοῦ Μακροῦ, ὑποκαθιστῶν μάλιστα ἄνδρας τῆς ἀξίας τοῦ Ρόδου καὶ τοῦ Πλανούδη, ἔπρεπε νὰ ἦτο ἤδη ἀνεγνωρισμένου κύρους, νὰ διέθετεν ἐπιρροὴν καὶ νὰ ἀνῆκεν εἰς τὸν περὶ τὸν αὐτοκράτορα Ἀνδρόνικον Β' καὶ τὸν πατριάρχην γνωστὸν κύκλον λογίων ἀνδρῶν. Τὰ ἀπαιτούμενα ὅμως πρὸς τοῦτο προσόντα ἦτο δύσκολον νὰ εἶχεν ἀποκτήσει εἰς ἡλικίαν κατωτέραν τῶν 30 ἐτῶν.

Πόθεν ἐστάλη ἡ κε' ἐπιστολὴ ὁμοίως ἀγνοεῖται. Ἐφ' ὅσον τὴν ἀποστολὴν αὐτῆς ἐτοποθετήσαμεν εἰς τὰ μετὰ τὸ 1295 ἔτη, δυνάμεθα νὰ ὑποθέσωμεν ὅτι αὕτη ἐστάλη ἐκ τοῦ ὄρους τοῦ Ἁγίου Αὐξεντίου τῆς Βιθυνίας, ὅπου πρέπει νὰ διέτριβε τότε ὁ Πλανούδης, ὡς μᾶς πληροφορεῖ οὗτος ἐν τῇ ἐπιστολῇ κδ' αὐτοῦ ἐπιγραφομένῃ «τῷ μεγάλῳ Παπίᾳ»[3]. Πρέπει δὲ νὰ εἶχεν ἀπέλθει ἐκεῖ τότε τὸ πρῶτον ὁ Πλανούδης, διότι ὁμιλεῖ ἐν αὐτῇ περὶ ἀναγκαιουσῶν ἐπισκευῶν εἰς τὴν ἐρειπουμένην μονὴν τῶν Ἁγίων Πέντε καὶ τοῦ τρόπου διὰ τοῦ ὁποίου ἦλθεν ἐκεῖ, κατόπιν προσφορᾶς τῆς μονῆς ὑπὸ τοῦ μητροπολίτου Χαλκηδόνος. Κατὰ τὸν R. Janin[4] ὁ Πλανούδης ἄρχεται ἀπὸ τοῦ 1295 ἐπισκεπτόμενος περιοδικῶς τὴν ἐν λόγῳ μονήν. Καὶ ἀπέθανε μὲν τὸ 1305[5], ἀλλ' εἰς τὴν μονὴν τῶν Ἁγίων Πέντε δὲν πρέπει νὰ μετέβαινε πλέον μετὰ τὸ 1300/1 λόγῳ τοῦ Τουρκικοῦ κινδύνου. Οὕτως καὶ ἐκ τῆς ὑποθέσεως ταύτης προκύπτει ὅτι ἐντὸς τῆς πενταετίας 1295 - 1300 πρέπει νὰ ἐπέμφθη ἡ ἐπιστολὴ κε' καθ' ἣν ὁ Ρόδου εὑρίσκετο ἤδη ἐν Ρόδῳ.

Ὑπάρχει ὅμως καὶ ἑτέρα ἐπιστολὴ τοῦ Μαξίμου Πλανούδη ἐν τῇ ὁποίᾳ γίνεται λόγος περὶ μητροπολίτου Ρόδου. Ἡ ἐπιστολὴ ἐπιγράφεται «τῷ Ρόδου» καὶ ἔχει ἐκδοθῇ ἀναρίθμητος ὑπὸ τοῦ Treu[6] ἐκ τοῦ κώδικος Laur. S.

---

1. Κατὰ τὸν ιδ' κανόνα τῆς ἕκτης Οἰκουμενικῆς Συνόδου. Βλ. Κ. Ρ ά λ λ η - Μ. Π ο τ λ ῆ, Σύνταγμα τῶν θείων καὶ ἱερῶν κανόνων Β', 1852, σ. 337.

2. Σ τ α ύ ρ ο υ 'Ι. Κ ο υ ρ ο ύ σ η, Γρηγορίου ἀρχιεπισκόπου..., ἀνωτ., σ. 248, σημ. 3.

3. M. T r e u, ἔνθ' ἀνωτ., σσ. 40 - 42.

4. R. J a n i n, Les églises et les monastères des grands centres byzantins, Paris 1975, σ. 42.

5. A n t o i n e D o n d a i n e, «Contra Graecos», Premiers écrits polémiques de Dominicains d'Orient, Archivum Fratrum Praedicatorum XXI, 1951, σ. 422, σημ. 75.

6. M. T r e u, ἔνθ' ἀνωτ., σσ. 215 - 216. Τὴν αὐτὴν ἐπιστολὴν ἐκ τοῦ αὐτοῦ κώδικος ἐξέδωκε καὶ ὁ L. G. W e s t e r i n k, Some unpublished letters of Blemmydes, Byzantinoslavica XII, 1951, σσ. 50 - 51 (= τ ο ῦ α ὐ τ ο ῦ, Texts and Studies in

Marci 303 (τοῦ τέλους τοῦ ιγ' αἰ.) περιέχοντος κυρίως τὸ Ἐτυμολογικὸν τοῦ Συμεὼν καὶ φέροντος τὴν ἐπιστολὴν ταύτην ἐν τῷ προστειθειμένῳ φύλλῳ 209ʳ διὰ χειρὸς τοῦ ιδ' αἰ.[1].

Κατὰ τὸ περιεχόμενον τῆς ἐπιστολῆς ταύτης ὁ Ρόδου ἔχει ἀπέλθει προσφάτως εἰς τὴν λαχοῦσαν αὐτῷ μητρόπολιν, ἀλλ' ὁ Πλανούδης δὲν εἶχεν εἰδήσεις ἐν Κωνσταντινουπόλει περὶ τοῦ ταξιδίου καὶ τῆς ἐγκαταστάσεως αὐτόθι τοῦ μητροπολίτου καὶ τῆς συνοδίας αὐτοῦ καὶ ἠρώτα τοὺς δυναμένους νὰ γνωρίζουν τι σχετικὸν (*καὶ εἴ που τινὶ τῶν ὑμᾶς ἢ τήν γε Ῥόδον εἰδότων περιετύγχανον, οὐδὲν ἦν ἕτερον εὐθὺς ἐπὶ στόματος ἢ περὶ ὑμῶν ἐρωτήσεις, εἰ καλῶς εἰς τὴν νῆσον ἀφίκεσθε, εἰ κάλλιον ἐν αὐτῇ διαγίγνεσθε, τίς ἡ παρὰ τῶν ἐγχωρίων ὑπάντησις, τίς ἡ μετ' αὐτὴν ὑποδοχὴ καὶ εὐπείθεια*). Ἐκ τῶν ἐρωτωμένων ὅμως οὐδεὶς ἠδύνατό τι σαφὲς νὰ εἴπῃ, *τῶν πειρατῶν, ὡς ἔφασκον, τὴν δεῦρο ἀποκλεισάντων ὁδόν*. Τελικῶς ὁ Πλανούδης ἔλαβε ἐπιστολὴν τοῦ μητροπολίτου ἐκ τῆς ὁποίας καὶ ἔμαθε τὰ κατ' αὐτόν.

Καὶ τῆς ἐπιστολῆς ταύτης ἀγνοοῦμεν τὸν χρόνον συντάξεως. Ὡσαύτως δὲν εἶναι γνωστὸς καὶ ὁ μητροπολίτης, πρὸς ὃν ἀπευθύνεται. Γίνεται ὅμως σαφὲς ἐκ τῶν προαναφερθέντων χωρίων ὅτι πρόκειται περὶ ἐγκαταστάσεως νῦν τὸ πρῶτον τοῦ μητροπολίτου ἐν Ρόδῳ, ὁ ὁποῖος ἐξελέγη προηγουμένως ἐν Κωνσταντινουπόλει καὶ ἐχειροτονήθη ἐκεῖ.

Ἡ μνεία περὶ παρουσίας πειρατῶν εἰς τὴν περιοχὴν τῆς νήσου, οἱ ὁποῖοι μάλιστα εἶχον ἀποκλείσει τὴν πρὸς αὐτὴν ὁδόν, βοηθεῖ εἰς τὸν ὑπολογισμὸν κατὰ προσέγγισιν τοῦ ἔτους ἀποστολῆς τῆς ἐπιστολῆς. Οἱ ἐν τῇ ἐπιστολῇ ἀναφερόμενοι πειραταὶ ἀνήκουν — ὡς ἐπιτυχῶς ὑπεστηρίχθη προσφάτως — εἰς τοὺς Τουρκομάνους τοῦ ἐμιράτου Μανταχίου (Mendesche), Μεντεσέ, οἱ ὁποῖοι ἀφορμώμενοι ἐκ τῆς Μιλήτου ἐληίζοντο τὴν περὶ τὴν Ρόδον περιοχὴν ἐπὶ τῆς βασιλείας Ἀνδρονίκου Β'. Ἐπιδρομαὶ Τουρκομάνων πειρατῶν ἀναφέρονται καὶ πρὸ τῆς ἱδρύσεως τοῦ ἐμιράτου τούτου, ὀλίγον πρὸ τοῦ 1290, συστηματικαὶ ὅμως καὶ συχναὶ λεηλασίαι τῆς Ρόδου ὡς καὶ καταλήψεις περιοχῶν αὐτῆς πραγματοποιοῦνται ἀπὸ τοῦ 1300 καὶ ἑξῆς[2].

Neoplatonism and Byzantine Literature, Amsterdam 1980, σσ. 14 - 15). Ἡ ἐπιστολὴ ἐν τῇ ἐκδόσει ταύτῃ ἐπιγράφεται «Ἐπιστολὴ τοῦ Πλανούδη πρὸς τὸν Ρόδου».

1. Βλ. R. Reitzenstein, Geschichte der griechischen Etymologica, Lipsiae 1897, σσ. 259 - 260, καὶ Fr. Lasserre - Nic. Livadaras, Etymologicum Magnum Genuinum, τόμ. I, Roma 1976, σσ. XV - XVI.

2. Περὶ τοῦ θέματος τῆς πειρατείας εἰς τὴν νῆσον καὶ τὴν περιοχὴν τῆς Ρόδου ὡς καὶ τὴν ἄποψιν ὅτι οἱ πειραταὶ εἶναι Τουρκομάνοι τοῦ ἐμιράτου τοῦ Μανταχίου καὶ οὐχὶ τοῦ Ἀϊδινίου βλ. Alexis G. C. Savvides, Rhodes from the end of the Gabalas rule to the conquest by the Hospitallers, A.D.C. 1250 - 1309, Βυζαντινὸς Δόμος 2, 1988, σσ. 199 - 231, ἰδίᾳ ἐν σ. 209 καὶ ἑξῆς, ἔνθα καὶ ἡ σχετικὴ βιβλιογραφία, εἰς ἣν προστεθήτωσαν αἱ περὶ πειρατῶν ἀνωτέρω εἰδήσεις, ὡς καὶ ἡ ἐν τῇ ἀνωτέρω σ. 247, σημ. 1, μελέτη τοῦ Ἐμμ. Κωνσταντινίδου.

Ἡ ἐν τῇ ἐπιστολῇ εἴδησις περὶ ἀποκλεισμοῦ τῆς ὁδοῦ ὑπὸ τῶν πειρατῶν μαρτυρεῖ τὴν ἰσχυρὰν παρουσίαν αὐτῶν περὶ τὴν Ρόδον (καὶ οὐχὶ εὐκαιριακὰς ἐπιδρομὰς κατ' αὐτῆς), ὅπερ ἤρχισε νὰ συμβαίνῃ περὶ τὸ 1300 καὶ ἐξηκολούθησεν ἕως τῆς καταλήψεως τῆς νήσου ὑπὸ τῶν Ἰωαννιτῶν Ἱπποτῶν (1309). Συνεπῶς δυνάμεθα νὰ ὑποστηρίξωμεν ὅτι αὕτη πρέπει νὰ ἐγράφη περὶ τὸ 1300.

Ἐκ τοῦ περιεχομένου τῶν ὡς ἄνω δύο ἐπιστολῶν τοῦ Πλανούδη, ἀλλὰ καὶ ἐκ τοῦ χρόνου ἀποστολῆς αὐτῶν, συνάγεται ὅτι ὁ ἐν αὐταῖς ἀναφερόμενος μητροπολίτης εἶναι τὸ αὐτὸ πρόσωπον. Χρονικῶς ἴσως προηγεῖται ἡ δευτέρα, ἡ καὶ ἀναρίθμητος ἐπιστολή, δεδομένου ὅτι αὕτη ἦτο ἡ πρώτη ὑπὸ τοῦ Πλανούδη σταλεῖσα τῷ Ρόδου, παρὰ τοῦ ὁποίου ἔλαβε καὶ ἀπάντησιν. Ἡ ἐπιστολὴ κε' («Γρηγορίῳ πρεσβυτέρῳ μονάζοντι...») ἐστάλη ἐνῷ ὁ Ρόδου εὑρίσκετο ἤδη μακρὰν τῆς Κωνσταντινουπόλεως, προφανῶς ἐν Ρόδῳ. Πιθανώτατα ὁ Πλανούδης, ὑπείκων εἰς παράκλησιν τοῦ μητροπολίτου, ἡ ὁποία περιείχετο ἐν τῇ ἀπαντητικῇ ἐπιστολῇ αὐτοῦ, ἔγραψεν εἰς τὸν Γρηγόριον *δεῖ δή σε τῆς μὲν ἐκείνου* (sc. τοῦ Ρόδου) *πρὸς τὸν ἄνδρα κηδεμονίας γενέσθαι διάδοχον*...

Κατὰ τὰ ἀνωτέρω συμπληρωτέος ὡσαύτως ὁ ἐπισκοπικὸς κατάλογος Ρόδου καὶ δι' ἑτέρου μαρτυρουμένου ἀνωνύμου μητροπολίτου μεταξὺ τῶν ἐτῶν 1295 - 1305 περίπου.

ΚΩΝΣΤΑΝΤΙΝΟΣ Α. ΜΑΝΑΦΗΣ

ΟΡΘΟΔΟΞΙΑ - ΟΡΘΟΔΟΞΑΣΤΙΚΟΣ

παρὰ τοῖς Νεοπλατωνικοῖς

Εἶναι κοινῶς γνωσταὶ εἰς τὸ Χριστεπώνυμον πλήρωμα αἱ ἐκκλησιαστικαὶ ἔννοιαι *ὀρθόδοξος, ὀρθοδοξία, ὀρθοδοξῶ, ὀρθοδόξως* ἢ τοὐναντίον *ἀνορθόδοξος, -ως (κακόδοξος, -ως, κακοδοξῶ)* ἢ ἄλλως *διορθόδοξος*. Ἡ ἡμετέρα Ἐκκλησία ὀνομάζεται *Ὀρθόδοξος*, διότι διατηρεῖ τὴν διδασκαλίαν τῶν *ὀρθοδόξων* Πατέρων, τὸ δὲ περιεχόμενον τῆς πίστεως *ὀρθοδοξία* καὶ ἡ ἑορτὴ τῆς ἀναμνήσεως τῆς ἀναστηλώσεως τῶν ἁγίων Εἰκόνων καὶ τῆς συναφοῦς πατάξεως πάσης αἱρέσεως ἄγεται κατὰ τὴν *Κυριακὴν τῆς Ὀρθοδοξίας*. Τέλος ὡς *ὀρθοδοξίας ὁδηγοὶ* ἢ *φωστῆρες* τιμῶνται μεγάλοι ἀσκηταὶ διδάσκαλοι ἐν τῇ ὑμνογραφίᾳ (ἅγ. Μάξιμος Ὁμολογητής, Γρηγόριος Παλαμᾶς)[1]. Τὸ δὲ *Ὀρθοδοξία* καὶ ὡς γυναικεῖον βαπτιστικὸν ὄνομα (Κύπρος).

Ἐνταῦθα θὰ σημειωθῇ ἡ χρῆσις τῶν λέξεων *ὀρθοδοξία* καὶ *ὀρθοδοξαστικός, -ῶς* εἰδικῶς παρὰ τοῖς Νεοπλατωνικοῖς, ἐφ' ὅσον ἡ οἰκογένεια τῶν λέξεων τούτων σπανίζει παρ' Ἀρχαίοις (πβ. τὸ τοῦ Ἀριστοτέλους : *ὀρθοδοξεῖν περὶ τὴν ἀρχήν*, Ἠθ. Νικομ. 1151 a 19)[2]. Οἱ τελευταῖοι Νεοπλατωνικοὶ εἰς ἀντίβαρον τῆς χριστιανικῆς χρήσεως παρέχουν τοὺς ἀνωτέρω ὅρους, οἷον : ὀρθοδοξία παρὰ τῷ Δαμασκίῳ εἰς Φαίδωνα Ι, $139_{,1}$ (*...αἱ ἠθικαὶ* [sc. ἀρεταὶ] *ὑπὲρ ταύτας* [sc. τὰς φυσικὰς ἀρ.], *ἐθισμῷ καὶ ὀρθοδοξίᾳ τινὶ ἐγγινόμεναι...*, Westerink, τ. Ι), ἢ παρὰ τῷ Ἱεροκλεῖ εἰς Πυθ. χρ. ἔπη, 10, σ. $37_{,10\text{-}11}$, Kœhler[3], ὀρθοδοξαστικὸς (παρὰ τῷ Ὀλυμπιοδώρῳ, Εἰς Πλάτ. Γοργίαν, Προοίμ. 8, σ. $7_{,2\text{-}4}$, Westerink : *ἀναλογεῖ ὁ μὲν Σωκράτης τῷ νοερῷ καὶ ἐπιστημονικῷ, ὁ δὲ Χαιρεφῶν τῷ ὀρθοδοξαστικῷ*, καὶ Εἰς Πλάτ. Ἀλκ. Α', 135, $_{8\text{-}14}$, σ. 89, Westerink, τὰ ἑξῆς διευκρινητικά : *ὁ μὲν οὖν φιλόσοφος Πρόκλος φησίν· ἐλέγχει* (sc. Πλάτων) *αὐτὸν* (sc. τὸν Περικλέα) *ὡς μὴ ὄντα ἐπιστήμονα, ἀποδέχεται δὲ αὐτὸν ὡς ὀρθοδοξαστικόν, ὁ δέ γε φιλόσοφος Δαμάσκιος οὐκ ἀποδέχεται τοῦτο, οὐδὲ γὰρ διαφέρει ὁ ὀρθοδοξαστικὸς τοῦ ἐπιστήμονος εἰ μὴ τῷ εἰδέναι τὴν αἰτίαν... εἰ οὖν ἦν ὀρθοδοξαστικός, οὐκ ἂν ἡμάρτανεν...*

Εἶναι φανερὸν ὅτι τὸ ὀρθοδοξαστικὸς δὲν προέρχεται ἐξ ἀνυπάρκτου ἀδοκίμου «ὀρθοδοξάζω», ἀλλ' ἐκ τοῦ *δοξαστικός*, καὶ οὕτω σχετίζεται πρὸς τὴν γνωστικὴν δύναμιν τῆς δόξης καὶ οὐχὶ τῆς διανοίας· διὸ καὶ δὲν ταυτίζεται πρὸς τὴν ἰδιότητα τοῦ ἐπιστήμονος. Ἄλλως δὲ ἡ ὀρθοδοξία συνεδέθη πρὸς τὴν κτῆσιν τῆς ἠθικῆς ἀρετῆς[4].

ΣΤΑΥΡΟΣ ΙΩ. ΚΟΥΡΟΥΣΗΣ

---

1. Πλῆθος χωρίων βλ. παρὰ G. W. Lampe, A Patr. Gr. Lex., σσ. 970 - 972.

2. Βλ. LSJ[9] ἐν λ.

3. *...οὐκ ἂν ἀρετὴ φυλαχθείη, ἂν μὴ ὀρθοδοξία τις ἐνυπάρχῃ τῇ λογικῇ οὐσίᾳ...* Εἰς τοῦτο πβ. τὸ τοῦ ἀνωνύμου Ὑπομνηματιστοῦ : ... *ἡ ἠθικὴ* (sc. ἀρετὴ) *ὀρθοδοξεῖ, ἤτοι ὀρθῶς ἐφευρίσκει τὴν ἀρχήν, ἤτοι τὸ τέλος καὶ οὐ πλανᾶται* CAG XX, σ. 440, 2-3.

4. Περὶ τῶν Νεοπλ. χωρίων βλ. καὶ O. Schissel von Fleschenberg, Marinos von Neapolis und die neuplatonischen Tugendgrade, Athen 1928, σ. 103, σημ. 66, ἔνθα καὶ χωρία τοῦ Σιμπλικίου καὶ τὸ παρὰ τούτῳ ἀντίθετον *ψευδοδοξεῖν* (παρὰ Ἱεροκλεῖ, ἀνωτ., σ. $37_{,18}$ ἡ *ψευδοδοξία*).

IL COMMENTARIO A ERMOGENE ATTRIBUITO A S. NILO DI ROSSANO

(Par. suppl. gr. 670, ff. 1 - 179v)

Ἑρμογένης ... γράφει ταῦτα τὰ βιβλία τὰ γέμοντα θαυμάτων, Τέχνην ῥητορικήν, ἣν μετὰ χεῖρας ἔχουσιν ἅπαντες.

Suid. Lex. s.v. *Ἑρμογένης*, 3046 = II $415_{,10-12}$ Adler.

0. Prima di affrontare il problema dell'attribuzione a S. Nilo di Rossano di un inedito commentario di teoria della retorica, occorre fare una breve premessa sul testo in questione e sul codice che lo contiene, allo scopo di introdurre il tèma dando tutta una serie di indicazioni necessarie perché sia chiara la successiva verifica dell'attribuzione.

1. I trattati di teoria della retorica di Ermogene di Tarso, noti ed apprezzati nel Medioevo quali *standard texts* per l'insegnamento, assieme ai *Progimnasmi* di Aftonio[1], hanno avuto, all'inizio di questo secolo, con il volume di Hugo Rabe pubblicato nel 1913 per la «Bibliotheca Scriptorum Graecorum et Romanorum Teubneriana»[2], una edizione, pur se invecchiata, ancòra non completamente sostituita.

1.1. Per la pubblicazione dell'intero *Corpus* — *Προγυμνάσματα* (= Π), *Περὶ στάσεων* (= Σ), *Περὶ εὑρέσεως* (= Ε), *Περὶ ἰδεῶν* (= Ι),

---

1. Ved. H. Hunger, Die hochsprachliche profane Literatur der Byzantiner («Handbuch der Altertumswissenschaft», XII 5/1 = «Byzantinisches Handbuch», V 1), I, München 1978, pp. 76 ss., con l' amplissima bibliografia ivi citata.

2. Hermogenes. Edidit H. Rabe («Bibl. Script. Graec. et Rom. Teubn. Rhetores Graeci», VI), Stuttgartiae 1913 (fotorist. 1969). Ved. anche H. Rabe, Rhetoren - Corpora, in Rhein. Mus. LXVII, 1912, pp. 321 - 357. — Per l'attività editoriale della «Bibliotheca Teubneriana» fra la fine dell' '800 e gli inizî del '900 ved. A. Garzya, Il contributo della Casa Editrice Teubner alla scienza dell'antichità, in «Omaggio a B. G. Teubner» («Radici», I), Napoli 1983, pp. 32 ss.

Περὶ μεθόδου δεινότητος (= M) — il Rabe esaminò e collazionò circa centotrenta manoscritti sparsi un po' in tutte le biblioteche europee[1], individuando infine, ai fini della costituzione del testo di ΣΕΙ, due famiglie di codici risalienti ad un archetipo databile con ragionevole certezza al VI secolo[2]: la famiglia V, comprendente il Vat. Urb. 130, l'Ambr. 523, il Basileensis 70, tutti e tre assegnati all'XI secolo, e la famiglia P comprendente i Par. gr. 1983 e 2977, anch'essi assegnati all'XI secolo[3].

1.2. Oltre a pubblicare il testo degli opuscoli ermogeniani, il Rabe provvide a un censimento dei manoscritti dei commentatori di Ermogene, riuscendo a identificare — anche sulla scorta di uno studio di St. Gloeckner[4]— varî esegeti, quali Cristoforo Retore ([scolî a] Σ), Giovanni Diacono Logoteta (M), Giovanni Doxapatri (ΣΕΙ), Giorgio Mono (Σ), Marcellino (Σ), Massimo Planude (ΣΕΙΜ), Nilo (Σ), Giovanni Siculo (I), Sopatro (Σ), Siriano (ΣΙ), oltre ad alcuni anonimi (famiglia P [ΣΕΙΜ]; Marc. gr. 433, Messan. S. Salv. 118, Par. suppl. gr. 670, «Codex Societatis Literariae Bulgaricae» [E]; Par. gr. 3032 [Σ]; Messan. S. Salv. 118 [Σ]; Vat. gr. 103, Vindob. philos. gr. 130 [Σ]).

1.2.1. Ma veniamo al Nilo commentatore di Σ citato dal Rabe, contenuto nel Par. suppl. gr. 670[5], secolo XI per l'Omont[6], il cui nome, dato che il codice è mutilo della parte iniziale, si evince da un luogo in cui il commentatore, citando se stesso, afferma (f. 32ᵛ) : ... *περιττὸν γάρ τοῦτό φησι καὶ μάταιον· ὅμως ἐγὼ Νεῖλος μονάζων πειράσομαι ὡς οἷόν τε δεῖξαι αὐτά*... («dice tutto questo superfluo ed inutile : tuttavia io, Nilo monaco, proverò, come è possibile, a mostrare queste cose» [comm. a Hermog., *de st.* = p. $59,_{6-7}$ Rabe]).

---

1. Ved. Hermogenes, op. cit., pp. XV - XIX.
2. Ibid., p. XIII.
3. Ibid., l.l. e pp. XVI-XVIII.XXVIII. Per la tradizione di ΠΜ ved. p. XXVIII.
4. Quaestiones rhetoricae. Historiae artis rhetoricae qualis fuerit aevo imperatorio capita selecta («Bresl. philol. Abhandl.», Achter Band. Zweites Heft), Vratislaviae 1901.
5. Hermogenes, op. cit., l.l.; Gloeckner, Quaestiones rhetoricae..., p. 10 (il codice fu probabilmente collazionato da Giano Lascaris nella Biblioteca del Monastero di Vatopedi); H. Rabe, Aus Rhetoren-Handschriften, 10, in Rhein. Mus. LXIV, 1909, pp. 589 s. (il séguito del Par. suppl. gr. 670 è l'attuale «Codex Societatis Literariae Bulgaricae», nel quale all'inizio continua il commentario a Ε interrotto a f. 192ᵛ nel Parigino mutilo).
6. Ved. H. Omont, Inventaire sommaire des manuscrits grecs de la Bibliothèque Nationale, III, Paris 1888, p. 294 («Scholia in Hermogenis rhetoricam, initio mutila; inter quae fragmentum Lacharae sophistae»).

Il Gloeckner aveva scritto a proposito del passo in questione : «Temporum ratione computata concludimus hoc loco verba facere S. Nilum Rossanensem, fundatorem et abbatem monasterii Cryptoferratensis, qui vixit ab a. 910 usque ad a. 1005; nam cum in contextu saepius Sopater, quem circa a. 500 floruisse constat citetur, et codex ipse saec. XI scriptus sit, neque de Nilo asceta neque de posterioris aevi Nilo quodam cogitandum esse apparet. Codicem Parisinum a Nili ipsius manu exaratum esse verisimile non est. Nam litterarum ductus accuratus et elegans non quadrat ad Nilum, quem charactere minuto et denso usum esse constat... Sed discipulos suos scripturae operam dare iussit Nilus et calligraphiae *veluti scholam in monasteriis suis — omni tempore esse voluit* (Rocchi l.c. p. 10, cf. 245). Unde codicem post Nili mortem a discipulis scriptum esse probabile est...

Christophorum in conscribendo commentario ex iisdem atque Nilum hausisse fontibus, ita tamen ut haud pauca omitteret, nonnulla aliis in locis poneret, perlectis eis quae e Nili commentario publici iuris faciam fragmentis intelleges. Christophorus quis fuerit, plane incertum est; moneo tamen sub Nicolao II abbate (a. 1131 - 1140) Cryptae Ferratae in monachorum numero fuisse Christophorum quendam»[1].

1.2.1.1. Dopo gli studî del Rabe[2], una memoria sulla struttura e sulle fonti del commentario venne pubblicata dallo stesso Gloeckner nel 1921[3] (ved. anche infra p. 256, n. 1).

1.2.1.2. Un contributo decisivo venne dato successivamente da G. Kowalsky, professore della Università di Wratislavia, la cui edizione critica di Σ apparve nel 1947[4], edizione comprendente anche un confronto accurato fra le citazioni dei commentatori e il testo dei codici ermogeniani[5]. Parallelamente, il Kowalsky affidò a due sue

---

1. Quaestiones rhetoricae..., pp. 4 s.
2. Rabe, Rhetoren - Corpora...; Aus Rhetoren - Handschriften, 10...; Prolegomenon Sylloge. Edidit H. Rabe. Accedit Maximi libellus de obiectionibus insolubilibus («Rhetores Graeci», XIV), Lipsiae 1931.
3. Zur Komposition der P-Scholien zu Hermogenes Περὶ τῶν στάσεων, in «Satura Viadrina altera. Festschr. zum 50jähr. Bestehen d. Philol. Vereins zu Breslau», Breslau 1921, pp. 1 - 11 (ved. praes. pp. 3 s., 7). — Prescindiamo qui dal problema dell'identificazione di Cristoforo retore con Cristoforo Monaco di Grottaferrata, ipotizzata dal Gloeckner, rinviandolo ad altro studio successivo.
4. Hermogenes De Statibus. Edidit G. Kowalski («Prace Wroclawskiego Towarzystwa Naukowego/Travaux de la Société des Sciences et des Lettres de Wroclaw», Seria A. Nr 1), Wratislaviae 1947.
5. Ibid., pp. IX - XXXVIII.

allieve, Ludovica Rychlewska e Venceslaa Borzemska-Leśnikovska, il cómpito di collazionare il commentario inedito di Nilo con l'altro commentario anonimo edito nel VII volume dei Rhetores Graeci di Ch. Walz (= W.VII = Anonimo della famiglia P [ved. supra a 1.2][1]. Gli studî, ritardati dalle vicende della Seconda Guerra Mondiale, apparvero in Eos, annate 1940/46[2] e 1947[3], e nel volume Analecta Hermogeniana del 1951[4], limitati tuttavia ai ff. 1 - 65 del codice di Nilo Monaco. L'esplorazione del manoscritto permise alle studiose di accertare la massiccia utilizzazione del testo dell'Anonimo da parte di Nilo Monaco, e di segnalare inoltre omissioni nel testo edito da Walz e varie lezioni poziori di Nilo.

1.2.1.3. L'identificazione di Nilo Monaco con S. Nilo di Rossano trovasi inoltre nella Geschichte der griechischen Literatur di Christ-Schmid-Stählin[5], ed è stata recentemente ripresa nella Die hochsprachliche profane Literatur der Byzantiner di H. Hunger[6].

2. Partendo dagli elementi fin qui acquisiti, col presente lavoro mi propongo di verificare la possibilità dell' attribuzione dello scritto, sottoponendola ad un'indagine che investa la personalità storica e culturale di S. Nilo di Rossano in relazione allo scritto in questione. Le domande a cui occorre rispondere per poter ammettere la paternità di S. Nilo sono oggettivamente le seguenti: 1) qual è l'esatta provenienza e datazione del codice che ci ha tramandato il commentario, dato che non è certo prudente fidarsi della datazione proposta dall'Omont (il secolo XI)[1] alla fine del secolo scorso?; 2) qual è l'esatta datazione dello scritto, quale si evince dagli elementi interni?; 3) ebbe il testo di Ermogene una diffusione in Italia meridionale, sí che S. Nilo possa averlo letto e commentato? ; 4) ebbe S. Nilo 'sufficiente' cultura greca profana, sí da poterne affrontare lo studio? ; 5) in che periodo della sua vita potrebbe S. Nilo aver composto lo scritto? ; 6) con qual fine l'avrebbe composto, o, meglio, per chi? ; 7) come mai l'agiografo non ne parla, né ce ne è giunta notizia da altra fonte?; 8) attraverso quali vicende il testo potrebbe essere giunto fino a noi?; 9) esistono — infine — altri monaci dal nome Nilo cui attribuire con maggiore verisimiglianza lo scritto?

1. Rhetores Graeci... Edidit Ch. Walz, VII/1, Stuttgartiae 1836 (fotorist. 1968), pp. 397 - 442. Tale Anonimo si identificherebbe con Giovanni di Cesarea, fiorito attorno al 450, allievo di un altro esegeta di Ermogene, Paolo di Cesarea; cfr. Gloeckner, Zur Komposition..., pp. 3 s.; W. von Christs Geschichte der griechischen Litteratur. Umgearbeitet von W. Schmid - O. Stählin («Handbuch der Altertumswissenschaft», VII 2/2), II/2, München 1924 (1961²), p. 936; Hunger, op. cit., I, p. 82.

2. Ludovica Rychlewska, In Anonymum Hermogenis *Statuum* Interpretem (Rh. Gr. VII 397 - 442 W.) cum Nilo (Par. gr. suppl. 670 ff. 36ᵛ - 65ʳ) collatum observationes criticae», in Eos XLI, 1940/46, pp. 173 - 184.

3. Ead., In Anonymum..., in Eos XLII, 1947, pp. 195 - 211.

4. Venceslaa Borzemska-Leśnikowska, De Anonymo Hermogenis Statuum interprete (Rh. Gr. VII 320 - 397 W.) cum Nilo (Par. gr. suppl. 670 ff. 1ʳ - 36ᵛ) comparato», in G. Kovalski-Venceslaa Borzemska-Leśnikowska, Analecta Hermogeniana, Wroclaw 1951, pp. 19 - 43.

5. op. cit., l.l.

6. op. cit., I, p. 83. Ved. anche G. Cavallo, La trasmissione scritta della cultura greca antica in Calabria e in Sicilia tra i secoli X-XV. Consistenza, tipologia, fruizione, in Scrittura e civiltà IV, 1980, p. 177 («s. Nilo mostra una sicura utilizzazione di Ermogene»).

30 - 11 - 1989

3. Veniamo súbito alla trattazione dei singoli punti.

3.1.1. Il codice Par. suppl. gr. 670, assegnato, come si è accennato, all'XI secolo dall'Omont, proviene, come mi è stato cortesemente comunicato dal prof. Ch. Astruc, già direttore del «Département des Manuscrits» della Biblioteca Nazionale di Parigi[2], dal Monte Athos, dove fu acquistato, come altri del fondo Supplemento greco, dal viaggiatore e bibliofilo greco Minoide Mynàs. Dopo la morte di Mynàs (avvenuta il 30.XII.1859), assieme ad altri settantanove manoscritti, passò agli eredi, che lo cedettero all'allora Biblioteca Imperiale il 5.IV. 1864[3].

3.1.2. All'inizio del codice troviamo appunto, su fogli aggiunti, l'indice compilato e firmato da Minoide Mynàs. Segue il commentario in questione, mutilo dell'inizio. Ecco la corrispondenza del commento coi capitoli del testo di Ermogene:

1. Ved. supra p. 254, n. 6.

2. Lettera allo scrivente del 9.IV.1984.

perché in quell'anno Giorgio si trasferì, come s'è detto, a Venezia); il dotto [1] tuttavia non esclude che la trascrizione possa essere stata eseguita a Venezia dopo il 1540.

Le opere di Gregora presentano nel testo, nell'interlinea e in margine molte correzioni, apportate da una seconda mano, la stessa, s'è detto innanzi, che corresse qua e là il cod. G. Una nota apposta dalla stessa mano corretrice in calce alla p. 519 avverte che il codice fu collazionato col suo *πρωτότυπον* (*ἐξισώθη καὶ τοῦτο κατὰ τὸ ἑαυτοῦ πρωτότυπον*).

Passando ad esaminare i rapporti fra i manoscritti, rileviamo innanzi tutto che K è apografo diretto di G. I due codici presentano errori (o varianti grafiche) comuni; *e.g.*:

29 *ἀφοῦ* GK : *ἀφ' οὗ* B
44 *πᾶσι* GK : *πάσῃ* B
49 *κηδεμόνῃ* GK^{ac} : *κηδεμόνι* B (et K^{pc})
ἐτελιοῦτο GK^{ac} : *ἐτελειοῦτο* B (et K^{pc})
59 *ἡλικίωτιν* GK : *ἡλικιῶτιν* B
60 *οἷον* GK : *οἵων* B
70 *ὡμίλλει* GK : *ὡμίλει* B
83 *ἰάσωνος* GK : *ἰάσονος* B
141 *συνάψει* GK : *συνθάψει* B
225 *ἀμίλικτον* GK : *ἀμείλικτον* B
235 *ἐστολισμένοις* GK : *ἐστολισμένος* B
291 *προσάγοντας* GK : *προσάγων τὰς* B.

K presenta alcuni errori particolari :

22 *εἰς* K : *ἐς* GB
54 *καὶ* om. K
66 *ἀπέλαβε* K : *ἀπέλαυε* GB
97 *σοφὸς* K : *σὸς* GB
111 *ὀξέως* K : *ὀξέος* GB
136 *τοῦτο* om. K
156 *αὐτοὶ* om. K
176 *ἄστεως* K : *ἄστεος* GB
200 *κύματι* K : *κύμασι* GB
222 *ἐς* K : *εἰς* GB
252 *ἀναδυσάμεναι* K : *ἀναδησάμεναι* GB
259 *τῶν* om. K.

1. Cfr. B i n o n, op. cit., p. 64.

È opportuno tuttavia osservare che Emanuele Eubene, uno scriba non certo digiuno di greco, eliminò nel corso della trascrizione alcuni degli errori esibiti dal modello G :

82 *δυσσεβῆ* G (lectio det.) *δυσσεβεῖ* KB
87 *πρεσβιτικὸν* G (lectio det.) : *πρεσβυτικὸν* KB
98 *θαλάσια* G perperam : *θαλάσσια* K *θαλάττια* B
119 *ἀγώνας* G (lectio det.) : *ἀγῶνας* KB
157 *ἐνεβεργέτου* G (lectio det.) : *ἐν εὐεργέτου* KB
235 *ἱματιματίοις* G (lectio det.) : *ἱματίοις* KB
256 *ἐπισταδίους* G (lectio det.) : *ἐπὶ σταδίους* KB
266 *τοιαύτα* G (lectio det.) : *τοιαῦτα* KB
288 *τῷ* bis perperam G.

Si tratta, com'è evidente, di correzioni abbastanza ovvie.

Il cod. K, tuttavia, presenta molte correzioni dovute a una seconda mano, la stessa, ripetiamo, che corresse qua e là il cod. G; queste le correzioni relative al nostro opuscolo :

25 *παρόντως* GK^{ac}: *παρόντος* K^2B
49 *κηδεμόνῃ* GK^{ac}: *κηδεμόνι* K^2B
ἐτελιοῦτο GK^{ac} : *ἐτελειοῦτο* K^2B
73 *κατιόντες* GK : *-ος* suprascr. K^2 *κατιόντος* B
101-102 *χαλκωτύπων* GK^{ac} : *χαλκοτύπων* K^2B
129 *ἀλγιδόνας* GK : *η* supra *ι* K^2 *ἀλγηδόνας* B
158 *ἰσομετρίτους* GK : *η* supra *ί* K^2 *ἰσομετρήτους* B
209 *κατεγίζοντες* GK : *αι* supra *ε* K^2 *καταιγίζοντες* B
216-217 *ἀδιάδοχον* ～ *πονηρὸς* omissa add. K^{2m}
223-224 *πρῶτον* ～ *καταξαίνεται* omissa add. K^{2m}
229 *ἀλγιδόνας* GK^{ac} : *ἀλγηδόνας* K^2B
233 *ἐχαλέπενεν* GK^{ac} : *ἐχαλέπαινεν* K^2 *ἐχαλέπηνεν* B
238 *ἐκείνου* omissum add. K^{2m}
275-276 *ἕκαστοι* ～ *μέρος* omissa add. K^{2m}
305 *ἀπολάβεις* GK^{ac} : *ἀπολαύεις* K^2B

Secondo il Binon [1], le correzioni di seconda mano esibite da K (e da G) sarebbero state ricavate per collazione da un codice non identificabile : opinione, codesta, fondamentalmente errata, della quale abbiamo fatto abbondante giustizia in altra sede [2]. Ci limitiamo

1. Cfr. B i n o n, op. cit., p. 61.
2. Cfr. L e o n e, pp. 40 - 48.

pertanto a ribadire qui che il cod. K fu bensì collazionato (come del resto c'informa la nota sopra citata apposta in calce alla p. 519), ma il πρωτότυπον su cui la collazione fu eseguita è G e non un altro manoscritto. Uno scriba non affatto indotto, probabilmente al servizio di Giorgio di Corinto, collazionò K col suo modello G, eliminò per collazione alcuni errori (colmò nel nostro caso alcune lacune), altri errori (e sono i più) corresse per congettura (aggiungiamo che le sue emendazioni congetturali, che egli spesso contrassegnò con ἴσως, non furono sempre felici)[1]. Alcune delle sue congetture l'ignoto correttore riportò anche in G, che aveva sott'occhio: ciò spiega perché G^2 e K^2 sono la stessa persona.

Considerata la natura e la qualità delle correzioni esibite da K, è evidente che questo manoscritto è da eliminare. Per la *constitutio textus* si dovrano quindi adibire, come vedremo subito, i codd. BG.

Esaminiamo intanto i rapporti fra questi due codici.


Si notano fra B e G non poche divergenze:

19 *τέλεον* B : *τέλειον* G
28 *τῇ στοργῇ* B : *στοργῇ* G
29 *ἀφ' οὗ* B : *ἀφοῦ* G
39 *τῆς* B : om. G
40 *τοὺς* B : om. G
44 *πάσῃ* B : *πᾶσι* G
50 *τῶν* B : om. G
52 *ὅσων* B : *ὅσον* G
56-57 *ἐφειστήκει* B : *ἐφεστήκει* G
59 *ἡλικιῶτιν* B : *ἡλικίωτιν* G
60 *οἵων* B : *οἷον* G
70 *ὡμίλει* B : *ὡμίλλει* G
83 *ἰάσονος* B : *ἰάσωνος* G
86 *τῶν* G : om. B
88 *γήρει* B : *γήρᾳ* G
89 *γοῦν* B : *οὖν* G
98 *θαλάττια* B : *θαλάσ(σ)ια* G
107 *καὶ* alt. B : om. G
132 *φησὶν* B : *φησὶ* G
137 *γήρει* B : *γήρᾳ* G

1. Cfr. Leone, p. 40 ss.; Id., La Vita cit., p. 11 ss.

139 *ἐπιᾶσι* B : *ἐπίασι* G
αἰρώμεθα B : *αἰρούμεθα* G
141 *συνθάψει* B : *συνάψει* G
144 *ἀθανάτων* B : *ἀθάνατον* G
151 *φησὶν* B : *φησὶ* G
ἡμῖν B : *ἡμῶν* G
155-156 *ἀντὶ τεταγμένως* B : *ἀντιτεταγμένως* G
158 *τὰς* B : om. G
ἰσομετρήτους B : *ἰσομετρίτους* G
178 *καὶ* B : om. G
194 *ἐκπυρσεύσας* B : *ἐκπυρώσας* G
195 *μέσην* B : *μέσον* G
197 *θείῳ* B : *θεῷ* G
198 *σεραπίων* B : *σεραπίον* G
202 *μαρμαρυγὰς* B : om. G
213 *γεγενημένος* B : *γενόμενος* G
222 *κοδράτος* B : *κοδράτου* G
225 *ἀμείλικτον* B : *ἀμίλικτον* G
226 *ἑτέραις* B : *ἑτέρας* G
232 *ὢ* B : *ὦ* G
233 *ἐχαλέπηνεν* B : *ἐχαλήπε(παι)νεν* G
234 *αἵμασιν* B : *αἵμασι* G
235 *ἐστολισμένος* B : *ἐστολισμένοις* G
239 *ἐσαεὶ* B : *ἐς ἀεὶ* G
240 *οἷα* B : *οἷον* G
243 post *ἀλλὰ*] *καὶ* G : om. B
245 *καὶ* G : om. B
250 *τῆς* G : om. B
262 *τῶν τραχήλων* B : *τοῦ τραχήλου* G
266 *διδασκαλίας* B : *διδασκαλείας* G
268 *τοῖς διδασκαλείοις* B : *τῆς διδασκαλίας* G
285 *ἐκείνων* B : *ἐκείνου* G
288 *καὶ ἀγνώμονι* B : om. G
291 *προσάγων τὰς* B : *προσάγοντας* G
291-292 *διαθέσεις* G : om. B
300 *κήρυξ* B : *κῆρυξ* G
301 *πλὴν* B : om. G
306 *καὶ* B : om. G
313 *πᾶσα* B : om. G.

Eliminati i palesi errori dell'uno o dell'altro manoscritto (le corruzioni di G sono evidentemente assai più numerose di quelle di B, il quale appunto perché esibisce errori non può essere l'esemplare dell'altro) resta un cospicuo gruppo di varianti (39, 40, 56-57, 88, 98, 137, 158, 194, 213, 233, 245, 250, 262 e fors'anche 19, 178, 288, 313), che non possono a parer nostro non risalire all'autore. Riassumendo i risultati dell'indagine da noi condotta sulla tradizione manoscritta di altri testi di Gregora trasmessi dagli stessi codici, e in special modo delle lettere, possiamo affermare che B discende *recta via* da un esemplare (= z), che Gregora ampliò successivamente con quaterni e *folia* di diversa provenienza. Da questa nuova più ampia raccolta (= z^{auct}) deriva G, certamente attraverso una copia intermedia (=s). I testi di z^{auct} erano stati dall'autore qua e là ritoccati; le divergenze fra B e G sono di conseguenza divergenze redazionali, e non v'ha dubbio che la redazione di G sia posteriore a quella di B. È opportuno aggiungere che la revisione effettuata dall'autore non fu né sistematica né integrale, e ciò spiega la presenza di errori comuni a entrambi i manoscritti. Quanto agli errori esibiti da B, è incerto se essi risalgano a z (poi corretti da Gregora in z^{auct}) o se siano errori propri del codice. Lo *stemma* che si può tracciare è dunque il seguente:



La presente edizione riproduce fondamentalmente il testo di G (*recensio posterior*), opportunamente emendato con l'ausilio di B. In apparato sono relegate le varianti d'autore (*recensio prior*), che uno speciale segno discrittico distingue da quelle dei manoscritti (v. *conspectus siglorum*). La raccolta di *fontes* e *testimonia* è limitata a quelli indispensabili.

L' *editio princeps* dell'opuscolo si deve a P. Reinold Dehnius, che utilizzò il solo codice K.[1] Il dotto riprodusse il testo di quel manoscritto non senza qualche imprecisione; non sempre opportune e necessarie si rivelano le sue correzioni.

1. Cfr. Acta SS., Mart. II, Antverpiae 1668, 696 - 700; trad. lat. ibid., 8-12. Testo e trad. latina sono riprodotti in Migne, PG CXLIX 503 - 520.

NICEPHORI GREGORAE
PASSIO SANCTI CODRATI

CONSPECTUS SIGLORUM

B = Vat. gr. 1085, saec. XIV
G = Angel. gr. 82, saec. XVI in.
l(iber)ac = liber ante correctionem
lsl = liber supra lineam
lm = liber in margine
l+ = ipsius auctoris lectio
*G codicis G lectio corrupta, quae in Monac. gr. 10 (= K), codicis G apographo, a librario (Emmanuele Eubene) correcta est
G* = codicis G lectio corrupta, quae in Monac. gr. 10 (= K), codicis G apographo, ab ignoto lectore correcta est
⟨ααα⟩ = addenda videntur
d = Dehnius

Νικηφόρου τοῦ Γρηγορᾶ
Μαρτύριον τοῦ ἁγίου Κοδράτου τοῦ ἐν Κορίνθῳ τῆς Πελοποννήσου

1. Ἐμοὶ δὲ τὸν τοῦ μεγάλου μάρτυρος Κοδράτου βίον διηγεῖσθαι προελομένῳ, εἴ τις μὴ ἀπιστεῖν ἐθέλοι, ἀκούων καινότερ' ἄττα καὶ θειότητος γέμοντα, ἐπ' αὐτῷ πεπραγμένα ἄρτι κομιδῇ τυγχάνοντι νηπίῳ, χρεὼν μὴ τοῖς ἀνθρωπίνοις τὸ ὅλον ἐμμένειν, ἀλλά τινων καὶ θειοτέρων μεμνῆσθαι τοῦ (5) θεοῦ τεραστίων, ὧν παλαιά τε καὶ νέα βρίθουσι γράμματα. οἱ μὲν γὰρ τῆς κοσμικῆς τε καὶ ἀνθρωποπαθοῦς ὕλης πνέοντες καὶ τῇ φύσει τὰ λεγόμενα σταθμώμενοι, σχολῇ γ' ἂν πρὸς ὑψηλοτέραν ἀναχθεῖεν ἔννοιαν, ὡσπερεί τισι δεσμοῖς οὐδαμῶς φορητοῖς τυραννούμενοι καὶ τῇ γῇ προσκεκυφότες καὶ μόνον οὐ λῆρον ἡγούμενοι, ὅσα δὴ τὴν ἀνθρωπίνην στάθμην ὑπερβέβληκε, κἂν (10) αὐτῶν ψαύῃ δακτύλων θεοῦ. οἷς δ' εὐσεβὴς συντέθραπται λογισμὸς καὶ ἀσχολία τὰ περὶ θεοῦ φαντάζεσθαι, τούτοις οὐ πολλὴ δυσχέρεια θεοπρεπῶς ἑαυτοὺς διατιθέναι πρός γε δὴ τὰ τοῦ θεοῦ θαυμάσια, ἃ πολλὰ καθ' οὓς αὐτὸς ἐθέλει χρόνους καὶ καιροὺς καὶ αἷστισιν ἀνθρώπων καὶ ὁπώσποτε ἐνδείκνυταί τε καὶ διενεργεῖ.

(15) *2.* Ἀρχὴ δέ μοι τοῦ λόγου ἡ τοῦ μεγάλου προκείσθω πατρίς. Ἰσθμός τίς ἐστι πρὸς ἑσπέραν κείμενος, εὖρος μὲν οὐ πολύς, μῆκος δ' ἐπιπολὺ παρατείνων· φαίη δ' ἄν τις ἰδών, ὡς ἑκατέροις τοῖς ἄκροις, ὡσπερεί τισι χερσί, βορέᾳ μὲν καὶ νότῳ προσυπαντᾷ, τὴν δὲ τοῦ Πέλοπος Ἑλλάδι τῇ λοιπῇ προσμίγνυσιν, οὔτε ταύτην ἐκείνης ἀφίστασθαι τέλεον παραχωροῦσα καὶ τὴν τοῦ (20) Πέλοπος παρὰ τοσοῦτον τὸ παντάπαν νῆσον εἶναι κωλύουσα, παρ' ὅσον ἀμφοτέροις τοῖς ἑκατέρωθεν ὕδασιν ἀντιφράττει μεσιτεύουσα. ὅσης μὲν οὖν ἔλαχε τῆς τῶν ὡρῶν εὐκρασίας καὶ τῆς τῶν ἄλλων χάριτος, ὁπόσα ἐς ἀκοὰς ἀνθρώπων ἰόντα οὐ βραχείας ἐμπιπλᾷ τῆς ἡδονῆς, καὶ ὡς ἐνιαυσιαίων κύκλων τακταῖς περιόδοις ἐνταῦθα συνέρρεον Ἑλλήνων παῖδες, ἄθλων ἅμα καὶ ἐπά- (25) θλων ἕνεκα, οὐ τοῦ παρόντος ἴσως διεξιέναι καιροῦ· ἴσασι γὰρ ἅπαντες, ὅσοι τῶν τῆς Ἑλληνικῆς σοφίας κρατήρων καὶ ὁπωσοῦν ἀπεγεύσαντο. ταύτης τοιγαροῦν παρὰ τὴν πρὸς νότον λῆξίν ἐστι πόλις ἡ Κόρινθος, περιφανὴς ἄνωθεν καὶ πολυάνθρωπος καὶ θεοῖς μὲν πρότερον ἐμπύρῳ τινὶ στοργῇ προσ-

---

Inscr. *τοῦ ἐν* K. codd.: *καὶ τῶν σὺν αὐτῷ ἐν* K. *d* 2 *καινότερ' ἄττα* scripsi : *καινοτεράττα* codd. *καινότερά τινα d* *καὶ* codd. : om. *d* *θειότητος* codd. : *θεό- d* 5 *γὰρ* omissum add. G[m] 10 *ψαύῃ* codd.: *φανῇ d* 13 *ὁπώσποτε* codd. : *ὅπως ποτὲ d* 16 *εὖρος d* : *εὗ-* codd. 19 *ἐκείνοις* B[ac] *τέλεον* B : *τέλειον* G(G[+]?) 20 *παντάπαν* codd. : *παντάπασιν d* 25 *παρόντως* G* 28 ante *στοργῇ*] *τῇ* add. B

ἀνέχουσα καὶ δεισιδαιμονίᾳ κάτοχος ἁπάσῃ· ἀφ' οὗ δ' οἱ τοῦ εὐαγγελικοῦ
30 κηρύγματος ἁλιεῖς τὴν τῆς ἡμῶν σωτηρίας σαγήνην τῇ οἰκουμένῃ καθῆκαν,
αὐτίκα δὴ καὶ αὕτη πάντα βυθὸν ἁλμυρὸν ἀποσεισαμένη πρὸς τὰ τοῦ Παύ-
λου μεταχωρεῖ καὶ μετατίθεται νάματα. γεννήτορες δὲ εὐσεβείᾳ καὶ ἐναρέτῳ
διαγωγῇ διαπρέποντες καὶ προσέτι γε εὐγενείᾳ καὶ πλούτῳ βαθεῖ περιβρί-
θοντες. ἀλλὰ γὰρ τοιαύτης μὲν τῆς πατρίδος, τοιούτων δὲ τῶν γονέων γε-
35 νόμενος, οὐκ ἐπιπολὺ τούτων ἀπώνατο, ἀλλὰ πρὶν ἢ τὴν βρεφικὴν παρελ-
θεῖν ἡλικίαν οἴχεται μὲν ἡ μήτηρ, οἴχεται δ' ὁ πατήρ, ἐν βραχεῖ τὸ χρεὼν
ἐπιτεμόντες ἑκάτεροι, ὥσπερ ἂν εἰ δι' οὐδὲν ἕτερον εἰς τὸν βίον παρήχθησαν
ἢ τῆς τούτου γενέσεως ἕνεκα. καὶ δι' αὐτό γέ τοι τοῦτο τῷ βίῳ τοῦτον
προσενεγκόντες, εἶτα ἀπῆλθον, μηδὲν πλέον γενέσεως συγχωρηθέντες συνεισ-
40 ενεγκεῖν τῶν ὅσα φύσις καὶ φίλτρα γονέας ἀφοσιοῦσθαι καταναγκάζουσι
τοῖς ἑαυτῶν βρέφεσιν, ἀλλὰ πᾶσαν ὡς εἰπεῖν κηδεμονίας ἐλπίδα πρὸς θεὸν
ἀναρρίψαντες. προσελάβετο μὲν οὖν ὁ κύριος αὐτὸν πάσης ἔρημον ἀνθρωπί-
νης ὄντα ἐπικουρίας (οὐ γὰρ ἂν εἴη τοῦτο νόμος θεοῦ εἰς φῶς ἅπαξ προ-
εληλυθότα ἄνθρωπον παριδεῖν, ὃς δίδωσι τροφὴν πάσῃ σαρκὶ καὶ τοῖς κτή-
45 νεσιν ἐξανατέλλει χόρτον καὶ πᾶσιν εἰς εὔκαιρον τὴν τροφὴν πρυτανεύει) καὶ
μικρὸν τῆς τῶν πολλῶν ἐπιμιξίας ἀπαγαγὼν καὶ εἰς ἀγρόν τινα ἀγαγὼν προὐ-
νοεῖτο τούτου παραδόξως καὶ ἀπορρήτοις τρόποις διέτρεφε, καθάπερ πρό-
τερον τὸν τῆς ἐρήμου τρόφιμον καὶ τοῦ σωτῆρος πρόδρομον. ὁ δ' ὑπὸ θεῷ
κηδεμόνι καὶ προμηθεῖ ηὔξανε καὶ ἐτελειοῦτο σοφίᾳ καὶ χάριτι, ποικίλων
50 ἐν αὐτῷ παραδόξων ὁσημέραι τελουμένων.

3. Ἀλλὰ γὰρ ἐνταῦθα τοῦ λόγου γενόμενος, ἐνθύμιον ἐποιησάμην τὸν
ἐκλεκτὸν τὸν τοῦ θεοῦ Ἰσραὴλ καὶ ὅσων θεόθεν πεπείραται τῶν καλῶν, ἄρτι
τῆς ἐρημίας μετὰ τὴν ἐξ Αἰγύπτου φυγὴν ἐπιβὰς καὶ οὐδὲν ἀνόμοια τὰ τότε
τοῖς νῦν παρατιθεὶς ἐφευρίσκω. νέφος γὰρ καὶ νῦν μεθ' ἡμέραν μὲν ὑποτρέ-
55 χον τὸν ἥλιον καὶ ἀπομαχόμενον ταῖς τοῦ ἡλίου φλογώσεσιν ἐαρινὴν παρεῖχε
τῷ ἁγίῳ τὴν τῆς μεσημβρίας ὥραν· νύκτωρ δ' αὖ οἱονεί τις λαμπὰς ἐφεστή-
κει, τὴν νυκτερινὴν ζόφωσιν εἰς μεσημβρίαν ἀμεῖβον, καὶ τότε μέν, φησίν,
'οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ὁ ἀσθενῶν'. καὶ οὗτος δὲ ταῖς ἐρημίαις καὶ
μηδὲν ἐχούσαις ὑγιὲς παραμύθιον ἐνδιαιτώμενος ἡλικιῶτιν ἀεὶ τὴν ὑγείαν
60 εἶχε καὶ σύντροφον. ἐσθῆτός γε μὴν καὶ χιτῶνος καὶ ἄλλων ὁπόσων καὶ οἵων
πρὸς περιβολὴν σώματος ἐν χρείᾳ καθίστανται ἄνθρωποι, οὐδενὸς τὸ παρά-

47 - 48 καθάπερ ∽ πρόδρομον : cf. Matth. 3,1 ss.; Marc. 1,4 ss. 53 s. cf. Exod. 13, 16 ss. 58 Ps. 104,37 (ὁ om.)

38 τοῦτον codd.: τούτῳ *d* 39 μηδὲν codd. : μηδὲ *d* ante γενέσεως] τῆς add. B+ 40 ante γονέας] τοὺς add. B+ 44 πάσῃ B (coniec. *d*.): πᾶσι G 49 κηδεμόνῃ G* ἐτελιοῦτο G* 50 ante παραδόξων] τῶν add. B+ 52 ὅσον *Gd* 56-57 ἐφεστήκει G : ἐφει- B+ 59 ἡλικίωτιν G -ώτην *d* 60 post χιτῶνος] καὶ ὑποδήματος

παν ἐδεῖτο παρ' ὅλην τὴν ὀρεινὴν ἐκείνην καὶ ἄγροικον δίαιταν, ἀλλὰ μόνην
ἐκείνην ἀποχρῶσαν εἶχε περιβολὴν καὶ ἀκμάζουσαν ἀεὶ καὶ συναυξοῦσαν ἀπορ-
ρήτως τῇ τῆς ἡλικίας αὐξήσει καὶ ἀναδρομῇ, ἣν αὐτῷ πρὶν ἢ τὸν βίον ἀπο-
65 λιπεῖν οἱ γονεῖς περιεποιήσαντο. καὶ τί δεῖ τὰ πολλὰ καταλέγειν ; τοσαύτης
ἀπέλαυε τῆς ἀπείρου καὶ παραδόξου κηδεμονίας, ὅσην εἰκὸς θεῷ καθάπαξ
ἀνατιθέντα καὶ πρὸς τῆς ἐκείνου χειραγωγούμενον δεξιᾶς.

4. Ἤδη δὲ καὶ τελεωτέρας ἥπτετο τῆς ἡλικίας καὶ συχνή τις τρίχωσις
περιέθει τὰς παρειὰς καὶ ὑπήνῃ τὸν πώγωνα συνεκάλυπτεν, ὁπότε δὴ καὶ ἐς
70 πόλιν ἤδη κατῄει καὶ ἀνθρώποις ὡμίλει καὶ τράπεζαν οἱονεί τινα παρετίθει
τὰ τοῦ θεοῦ λόγια, 'ἀγροῦ' μέν τινος τῷ ὄντι 'ἀπόζουσαν', ἀλλὰ 'πλήρους'
καὶ 'ὃν εὐλόγησε κύριος', ὅ φησι Σολομῶν ὁ θαυμάσιος. καὶ ὥσπερ ἀπὸ θεω-
ρίας τινὸς ἄρτι κατιόντος θεϊκῆς, οὕτως ἐξήρτηντο τῆς αὐτοῦ γλώττης καὶ
οὕτω προσεῖχον αὐτῷ, οἷά τινες Ἰσραηλῖται μεγάλῳ καὶ θεόπτῃ Μωσεῖ.
75 τούτων οὕτω γιγνομένων, συνήθεις αὐτῷ καὶ ὁμότροποι καί, ἵν' εἴπω, τὸ
αὐτὸ πνέοντες καὶ τὸν ἴσον δρόμον ἐκείνῳ μεταδιώκοντες γίνονται ὁ δεῖνα
καὶ ὁ δεῖνα· μεθ' ὧν νῦν μὲν ἐξεδήμει, νῦν δ' ἐπεδήμει, νῦν μὲν τῷ ἀγρῷ,
νῦν δὲ τῇ πόλει, πλὴν ἥκιστά γε μὴν ἰσομετρήτοις καιροῖς· ἀλλὰ συχνὰ μὲν
τῷ ἀγρῷ, σπάνιον δὲ τῇ πόλει, τὸν πολὺν ὄχλον σοφῶς παρεκκλίνων καὶ
80 τὸν δημώδη τάραχον ἀποπεμπόμενος, κἀντεῦθεν καὶ τῷ θεῷ σχολαιότερον
καὶ καθαρώτερον προσομιλῶν, τὸν ἐφεξῆς οὕτω παρήμειβε βίον.

5. Ἄρτι δὲ τῶν Ῥωμαϊκῶν σκήπτρων ὑπὸ τῷ δυσσεβεῖ Δεκίῳ ἠγμένων
καὶ Ἰάσονος τῆς Ἑλλάδος ἡγεμονεύοντος καὶ τοῦ ἐναντίου τῇ εὐσεβείᾳ δό-
γματος τὸ ἰσχυρὸν ἔχοντος, πολλοὶ μὲν καὶ ἄλλοι τῆς τοῦ Χριστοῦ μαθη-
85 τείας ἐπαξίως ἠνδρίζοντο καὶ οὐκ ἄκοντες τὸν κίνδυνον ὑπῄεσαν. προθυμό-
τερον δὲ τῶν ἄλλων ὁ θεῖος Κοδράτος σύν γε τοῖς φίλοις καὶ ὁμοτρόποις
καὶ σφόδρα ἐθελοντὴς ἀθλητὴς καθίστατο, καὶ ταῦτα πρεσβυτικὸν ἐπαγό-
μενος σῶμα καὶ γήρᾳ προσπαλαίων καὶ κόπῳ τῷ τῆς ἀσκήσεως, ᾗ τὸ πλεῖ-
στον αὐτῷ τοῦ βίου συμπεπόρευται. παρίσταται οὖν τῷ Ἰάσονος βήματι
90 δέσμιος ὁ μακάριος καὶ τοιαῦτά φησιν· «τί ταῦτα, ὦ μιαρὰ κεφαλή, κατὰ
τοῦ ἐμοῦ μαίνῃ Χριστοῦ καὶ ἡμῶν τῶν αὐτοῦ ; τί δὲ καὶ πρὸς βῆμα καθέλ-
κεις καὶ τυραννίδα προσάγεις καὶ ὑπὸ χεῖρα ποιεῖσθαι ἐπιχειρεῖς ἐλεύθερον

71 Gen. 27, 27 (ὡς ὀσμὴ ἀγροῦ πλήρους) 72 Σολομῶν] immo Isaac 74 οἷα ∽ Μωσεῖ : cf. Exod. 13 ss. passim

add. *d* οἵων B (coniec. *d*): οἷον G 69 περιέθει codd. : περιτίθει *d* ἐς codd. : εἰς *d* 70 ὡμίλει B (coniec. *d*): -ίλλει G 73 κατιόντες G* 75 ante γιγνομένων] θεοπρεπῶς add. *d*. 79 παρεκκλίνων codd. : παρακλίνων *d* 82 δυσσεβῆ G* 83 ἰάσωνος G 86 τῶν om. B 87 ἀθλητὴς codd. : om. *d* πρεσβιτικὸν *G 88 γήρᾳ G : -ρει B+ (cf. infra 137) τῷ codd.: om. *d* 89 γοῦν B 91 post

φρόνημα καὶ ὑπεῖξον οὐδενὶ τὸ παράπαν οὐδέποτε ; εἰδέναι καὶ γάρ σου τὴν
δυσμένειαν βούλομαι σφόδρα τοι ἐναργέστατα, ὡς θᾶττον μέντ' ἂν αὐτοί σε
95 μεταπείσαιμεν, ἢ σύ γε ἡμᾶς ; εἰ δὲ δυσχερὲς εἴη τὸ πρῶτον, θάτερον πάν-
τως ἔσται ἀδύνατον. μελλήσας τοίνυν μηδέν, ἀφίστασο τῶν πάντων μηδενὸς
κολαστηρίου, ὧν ὁ σὸς ὑφηγεῖταί σοι δαίμων, κἄν τε σίδηρος κἄν τε φλὸξ
κἂν θαλάσσια ῥεύματα κἂν ἕτερ' ἄττα τῆς αὐτῆς ἰταμότητος εἴη τυγχά-
νοντα· ἀλλὰ πάντ' ἔπαγε καθ' ἡμῶν τῷ σῷ λαμπρῶς ἐξυπηρετούμενος πα-
100 τρί τε καὶ ὑφηγητῇ μιαρῷ. ἐπὶ τοσοῦτον καὶ γὰρ ὑπομενοῦμεν ἅπαντα μη-
δὲν ὁπωσοῦν ἀντιφάσκοντες, ἐφ' ὅσον δὴ καὶ σίδηρος τὰ βριαρὰ τῶν χαλκο-
τύπων κρούματα».

6. Τούτων οὕτω λεγομένων, ἔχαιρον μὲν ἄνωθεν ἄγγελοι, καθάπερ τι-
νὲς ἀθλοθέται ἀφ' ὑψηλοῦ τοῦ θεάτρου προκύπτοντες· ἐπλήττετο δὲ ὁ πικρὸς
105 ἡγεμών, καθάπερ συχνῶν τινων ἀμφ' αὐτῷ πρηστήρων κατενηνεγμένων, καὶ
τῆς πείρας πάντα προαπελέγετο, χλεύην οὕτω γενησόμενα πάντ' ἐννοῶν ἤδη,
ἃ τῷ τέως κατ' αὐτῶν ἐπενόει, καὶ πολλαῖς καὶ ἀλλεπαλλήλοις ταῖς ἐννοίαις
τὸ λογιζόμενον τῆς ψυχῆς διεσάλευε καὶ ἐτάραττεν, ὑπὸ σφοδρᾶς οἱονεί τι-
νος ἀντικρουόμενος ἀντιπνοίας τοῦ γενναίου ἐκείνου δηλαδὴ καὶ θάρσους γέ-
110 μοντος πνεύματος. καὶ διὰ πάντων βουλευμάτων ἀπὸ συχνοῦ τοῦ διαστήμα-
τος ἤρχετο μετά τινος ὀξέος τοῦ νοῦ καὶ ἀνεπόλει, τίνων μὲν ἂν ἀποσχό-
μενος, τίνων δὲ πειραθεὶς εὐτυχοίη, καὶ μὴ χλεύη σαφὴς φανείη προκείμε-
νος, ὥσπερ ὑπὸ βελτίονος ἀντιπάλου καταρραγείς. καὶ νῦν μὲν ὥρμα μιᾷ
πληγῇ τοὺς μάρτυρας μὲν τοῦ βίου, πραγμάτων δ' ἑαυτὸν ἀπαλλάξαι· νῦν
115 δ' ἐπεῖχε καὶ ὡς ἐν μεταιχμίῳ τῇ πείρᾳ τὸ πᾶν ἀνερρίπτει, καθάπερ ἐν κύ-
βοις, ἐν οἷς τοσούτῳ θάτερον ἥκιστα ἀπροσδόκητον, ὅσῳ θάτερον προσδο-
κήσιμον.

7. Ἀλλὰ γὰρ ἴωμεν ἐπὶ τὸ μαρτυρικὸν γυμνάσιον, ἀριθμήσοντες τοὺς
γενναίους ἐκείνων ἀγῶνας. τύπτουσι μὲν τὴν ἀρχὴν σὺν τοῖς εἰρημένοις ἁγίοις
120 Κοδράτον ἐφ' ὅσον ἦν δυναμένοις τοῖς δημίοις· ἔπειτα πρὸς ὕψος ἐκ τῶν πο-
δῶν αἴρουσι καὶ σιδηραῖς ἀκμαῖς τὴν τῶν σαρκῶν ἁρμονίαν κατατέμνουσι.
μετὰ δὲ πῦρ ὑφάπτουσι, τοῦτο μὲν ὥσπερ ἕψοντες τὰ ἐκείνων σώματα, τοῦτο
δὲ καὶ δριμεῖαν ὀδύνην τοῖς ἀναπνευστικοῖς πόροις αὐτῶν ἐμποιοῦντες. ὁ
δὲ μάρτυς τοῦ σώματος καθάπαξ τὸν νοῦν ἀποστήσας ἀπόδημον ἔστελλε πρὸς

Χριστοῦ] τοῦ σωτῆρος ἁπάντων add. *d* καὶ alt. G[sl] 93 οὐδέποτε codd.: om. *d* καὶ codd.: om. *d* 96 μελλήσας *d* : μελή- codd. 97 σὸς codd.: σοφὸς *d* (ex K) 98 θαλάσσια (-άσια *G) G : -άττια B⁺ ἕτερ' ἄττα scripsi : ἑτεράττα codd. ἕτερά τινα *d* 100-101 μηδὲν ὁπωσοῦν ἀντιφάσκοντες codd.: om. *d* δὴ codd.: τε *d* 101-102 χαλκωτύπων G* 104 δὲ codd.: δ' *d* 106 ἤδη codd.: om. *d* 107 καὶ alt. om. G*d* 108 ante ὑπὸ] καὶ add. G*d* 110 ante διὰ] ὡς ἐν βουλευτηρίῳ add. *d* 111 ὀξέος τοῦ νοῦ] ὀξύτητος τοῦ νοῦ Migne ὀξέος τόνου coni. *d* 115 [καὶ] ὡς... ἀναρρίπτει⟨ν⟩ coni. *d* 119 γεναίους G ἀγώνας *G ἁγίοις codd.: om. *d*

125 Χριστόν, δι' ὃν ἐκαρτέρει πάσχων κἀντεῦθεν τῶν τοῦ σώματος ἀλγεινῶν
ὑπερεφρόνει ῥᾳδίως καὶ πρὸς μόνον ἔβλεπε τὸν ἀθλοθέτην καὶ ἐνεκαλλωπί-
ζετο τοῦ σώματος ὑπορρέοντος καὶ μόνην ταύτην ἡγεῖτο νίκην εἶναι σαφῆ,
τὴν ὑπεροψίαν τῆς σαρκὸς πληττομένης ὑπὲρ τοῦ παθόντος πρότερον δι'
ἡμᾶς. καὶ πρὸς μὲν τὰς τοῦ σώματος ἀλγηδόνας τοιοῦτος ἦν ὁ Κοδράτος·
130 πρὸς δὲ τοὺς συνάθλους ὁπότε ἐπιστραφείη, τοιαῦτα ἄττα εἰσηγεῖτο, οἱονεί
τις γυμναστὴς ἄρτι προσβιβάζων πρὸς ἀήθεις ἄθλους καὶ σφοδρόν τι ζώ-
πυρον ἐντιθεὶς ταῖς ἐκείνων ψυχαῖς. «ἄνδρες», φησίν, «οἱ τὸν αὐτὸν ἐμοὶ
τρέχοντες δίαυλον καὶ πρὸς ἓν ἀφορῶντες βραβεῖον, εἰ τὸ τῆς φύσεως ἡμᾶς
ἐπίκηρον ἐλάνθανε καὶ ἀθάνατα βιώσεσθαι προσεδοκῶμεν, εἰκὸς μὲν ἴσως
135 ἦν φιλοψυχεῖν καὶ μὴ οὕτω τῆς σαρκὸς ἀφειδεῖν καὶ πρὸς τοσοῦτον
ἀποδειλιᾶν κίνδυνον. ἐπεὶ δὲ νόμος τοῦτο φύσεως ἀπαραίτητα ἐγκείμενος
καὶ εἰ μὴ νῦν, ἀλλ' οὖν ἐς τὴν ὑστεραίαν ἢ γήρᾳ τὸν βίον τελευτήσομεν, ἢ
νόσος τις ἐπεισπεσοῦσα (αἳ πολλαί τε καὶ ποικίλαι δι' ἀταξίαν τῆς ὕλης
ἐπίασι τῇ ταλαίνῃ σαρκί) ἀπαλλάξει τοῦ ζῆν· διατί μὴ τὸ βέλτιον αἱρούμεθα
140 πρὸ τοῦ χείρονος; εἰ μὲν γὰρ τὸν τῆς φύσεως οἰκεῖον περιμενοῦμεν, ἀκλεὴς
τὸ παντάπαν ἐσεῖται καὶ συνθάψει τοῖς σώμασι τὴν μνήμην ἡμῶν, καὶ ἄδη-
λον εἰ καὶ τῆς τύχης ἵλεω τύχοιμεν· εἰ δ' ὁ μετὰ κινδύνων αἱρετὸς ἡμῖν κα-
τασταίη νῦν, ἀθάνατον μὲν ἡμῖν τὸ κλέος διαμενεῖ τῷ βίῳ καὶ ζῆν τοῦτ' ἔσται
μᾶλλον ἢ θανεῖν, ἀθανάτων δὲ καὶ τῶν βραβείων παρὰ θεοῦ ἀντιληψόμεθα».

145 8. Τούτοις τοῖς λόγοις οἷά τις στρατηγὸς τοὺς ἀμφ' αὐτὸν ὑπαλείφων
καὶ παραθαρρύνων, πρὸς τοὺς ἑξῆς ἀγῶνας ἀνδρικωτέρους καθίστα. ἀλλ' ὁ
τύραννος οὐκ ἔληγεν οὐδέπω τῆς σφοδρᾶς ἐκείνης ὠμότητος, ἀλλ' ἦν ταῦτα
ἐκείνῳ μικρά τις παρασκευὴ κατὰ τῶν ἁγίων, ὡς ἔφασκεν. ἠπείλει γὰρ ἑτέ-
ρους οὐ μετρίους καὶ πικροὺς θανάτους, καὶ οἵους οὐκ ἂν ἀνθρώπου σῶμα
150 φέρειν δύναιτο. πρὸς ὃν ὁ Κοδράτος (ὢ γενναίας ἐνστάσεως καὶ φρονήματος
φλέγοντος) «περὶ μὲν θανάτου οὐδὲν ἡμῖν μέλει», φησί· «πῶς γάρ; ὃν ἡμῶν
ἡ φύσις πρό γε σοῦ κατεψηφίσατο, καὶ οὐκ ἔνεστιν οὐδενὶ τῶν ἁπάντων γε-
νέσει χρησαμένῳ μὴ καὶ φθορᾷ καθυπαχθῆναι· τοῦτο δ' ἡμῖν ἐν τοῖς μάλι-
στα μέλει, μὴ σὺν ἀδοξίᾳ τοῦ ζῆν ἀπαλλαγῶμεν. τοῦ μὲν οὖν πολλάς τε καὶ
155 ποικίλας ἐφευρίσκειν καθ' ἡμῶν βασάνους σὺ κύριος· τοῦ δὲ πρὸς πάσας ἀντι-
τεταγμένως ἔχειν καὶ τῆς σαρκὸς ἀφειδεῖν, τούτου δ' ἡμεῖς αὐτοὶ κύριοι,
καὶ ἴδοις ἂν παντὸς ἀδάμαντος ἀκμαιοτέρους. ἡμῖν δὲ καὶ ἐν εὐεργέτου μοί-

---

127 ὑπορέοντος, ρ quidem altero suprascripto, G 129 ἀλγιδόνας G* 132 φησί G 137 γήρᾳ G: -ρει B⁺ (cf. supra 88) 139 ἐπιᾶσι B διὰ τὶ *d* αἱρώμεθα B 140 post περιμενοῦμεν] θάνατον, quod quidem subaudiendum, add. *d* 141 συνθάψει B (coniec. *d*) : συνάψει G 144 ἀθανάτων B (coniec. *d*) : ἀθάνατον G 149 ἂν codd.: om. *d* 151 φησὶν B ἡμῖν B 155-156 ἀντὶ τεταγμένως B 157 ἐν εὐεργ-] ἐνεβεργ- *G

*ρᾳ λογίζῃ, πλείους ἐπιφέρων κολάσεις· ἰσομετρήτους γὰρ καὶ τοὺς στεφά-
νους ἐκδεχόμεθα παρὰ τοῦ ἀθλοθέτου θεοῦ».*

160 **9**. *Ταῦτα τὸν τύραννον ἐμαλάκιζεν οὐδαμῶς, ἀλλ᾽ἀνέφλεγε μᾶλλον
τὸν ἐκείνου θυμόν, ὡσπερεί τις εὔπρηστος ὕλη φλόγα πυρός. καὶ ὁ μὲν ἐφοι-
νίσσετο τὸ πρόσωπον ὑπ᾽ ὀργῆς, οἱ δὲ μάρτυρες ἐμειδίων· καὶ ὁ μὲν ὕβριζεν,
οἱ δ᾽οὐκ ἀνθύβριζον· καὶ ὁ μὲν τοὺς δημίους ἐκέλευεν ἐμφορεῖν τὰς κολά-
σεις, οἱ δ᾽ ἀλλεπαλλήλους τε καὶ συνεχεῖς ἐμφορούμενοι ἔχαιρον τὸ τοῦ σώ-*
165 *ματος ἀσθενὲς τῆς τῆς ψυχῆς ὑπερειδούσης καὶ ἀνεγειρούσης ἐλπίδος καὶ γυμνά-
σιον ὡς ἀληθῶς ἀρετῆς τὰς βασάνους ἡγεῖσθαι πειθούσης. ἤδη δὲ καὶ θη-
ρίοις ἠγριωμένοις βορὰ παρατίθενται· ἀλλ᾽ἀπήλλαξαν κἀκεῖθεν ἀπαθεῖς,
ἀγγέλου θεόθεν ἐπιστάντος βοηθοῦ καὶ τὰ τῶν θηρῶν ἀποφράττοντος στό-
ματα. ἐπεὶ δέ, μικροῦ δέω λέγειν, διὰ πάσης ἐπινοίας ἐλθὼν ὁ κολάζων, ἐκεί-*
170 *νους μὲν νικητάς, ἑαυτὸν δὲ τῆς ἥττης καὶ ἄκων κληροῦχον ἐποίει, διὰ πά-
σης προστάττει συρῆναι τῆς πόλεως, ὑπτίους ἐκ ποδῶν δεσμηθέντας. καὶ
εἵλκοντο μὲν ἀφειδῶς οἱ Χριστοῦ ἀθληταί· ἐβάλλοντο δ᾽ὑπὸ πάντων ὡς
εἰπεῖν συγκλύδων τινῶν καὶ ἀγοραίων μειρακίων λίθοις τε καὶ ξύλοις, καὶ
ὅτῳ δύναιτο ἕκαστος τρόπῳ, ἕως τῆς πόλεως ἀπηνέχθησαν ἔξω, ὅπῃ καὶ*
175 *τὴν τελευτὴν εὗρον τοῦ βίου, ξίφει τὰς κεφαλὰς ἀποβεβληκότες. ἀλλὰ γὰρ
ὁ θεῖος Κοδράτος σὺν τοῖς ἀμφ᾽ αὐτὸν οὕτω πρὸ τοῦ ἄστεος ἐξελαθέντες,
ἐκεῖ που τοῦ τείχους ἔγγιστα δίκην ἀσταχύων τὰς κεφαλὰς ἀφήρηνται, Μαρ-
τίου δεκάτην ἄγοντος τότε, τοῦ ἔαρος νέον ἤδη τὴν γῆν ἐπιόντος. ἡ δὲ τὸ
καταρρεῦσαν ἐκεῖθεν αἷμα δεξαμένη πέτρα, πηγὴν ὕδατος ἐκ τοῦ παραχρῆ-*
180 *μα ἀντιδοῦσα, διατελεῖ καὶ ἐς δεῦρο νοσημάτων παντοίων ἰάσεις συναπορ-
ρέουσα. τὰ δὲ τίμια αὐτῶν λείψανα θεοφιλεῖς ἀνελόμενοι ἄνδρες, καὶ τέμενος
θεῖον δειμάμενοι πρὸ τοῦ ἄστεος τούτῳ ταῦτ᾽ ἐγκατέθεντο, ἀσφάλειαν μεγί-
στην τῇ πόλει καὶ θησαυρὸν ἄσυλον ἰαμάτων.*

10. *᾽Αλλὰ τὰ μὲν ἀμφὶ Κοδράτον καὶ τοὺς ἀμφ᾽ αὐτὸν τοιαῦτα· ὑπό-*
185 *λοιπον δ᾽ ἂν εἴη διαλαβεῖν ἐν βραχεῖ καὶ τὴν τῶν ἄλλων ἄθλησιν, οἳ διδα-
σκάλῳ Κοδράτῳ χρησάμενοι καὶ χρηστῷ παραδείγματι πρὸς τοὺς διὰ Χρι-
στὸν ἀγῶνας ἐν ἐκείνοις τοῖς χρόνοις ἐρρώσθησαν, ζήλῳ τῷ πρὸς αὐτὸν τὰς
ψυχὰς ἐκπυρώσαντες. ἑνὶ μὲν οὖν ἅπαντες δικαστῇ παρέστησαν, Τερτίῳ ἀνθυ-
πάτῳ ῾Ελλάδος, διαφόρους δὲ τὰς κολάσεις ὑποστάντες ἐξῆλθον τὸν βίον·*
190 *πρῶτα μὲν οὖν Οὐϊκτορῖνος, Οὐΐκτωρ τε καὶ Νικηφόρος, μυρίαις πρότερον κα-
ταξανθέντες βασάνοις, ἔπειτα ἐν ὅλμῳ βιαίῳ τὰ σώματα συντριβέντες, σώας
καὶ ἀλωβήτους τὰς ψυχὰς τῷ θεῷ παρέπεμπον. δεύτερος δὲ Κλαύδιος τὰς
χεῖρας καὶ τοὺς πόδας ἀκρωτηριασθεὶς χαίρειν ἀπεῖπε τὸ ζῆν, δραμὼν πρὸς*

---

158 ante *κολάσεις*] *τὰς* add. B^+ *ἰσομετρίτους* G* 174 *ὅπῃ* codd.: *ὅ-
που* *d* 177 *τείχους* codd.: *-ου* *d* 178 ante *τοῦ*] *καὶ* add. B(B^+?) 182 *ἄστεος*
codd.: *-ως* *d* 191 *βιαίῳ* codd.: *βιαίως* *d* fort recte *σῶας* G 193 *χαίρειν* codd.:

θεὸν ὃν ἐζήτει. τρίτος δὲ ὁ Διόδωρος, θείῳ ἔρωτι ἐκπυρώσας τὴν ψυχήν, ἐς
195 *μέσην τὴν κατ᾽ αὐτοῦ παρασκευασθεῖσαν πυρὰν ἅλλεται, πυρὶ πῦρ ὡς εἰπεῖν
ἀντιτάξας, τῷ ἐνύλῳ τὸ ἄϋλον· καὶ μικρὸν ἐπιβιούς, ἑκατέρῳ πυρὶ διεμερί-
σατο ἑαυτόν, ἀποδοὺς τὸν μὲν χοῦν τῷ γηΐνῳ, τὸ δὲ πνεῦμα τῷ θείῳ, καὶ
δι᾽ αὐτοῦ τῷ θεῷ· τέταρτος δὲ Σεραπίων κεφαλικὴν ὑπομείνας τιμωρίαν,
πρὸς Χριστὸν διαβαίνει, τὴν ὡς ἀληθῶς αὐτοῦ κεφαλήν. πέμπτος δὲ Παπίας*
200 *πόντῳ καὶ κύμασι καταβαπτισθείς, τοῖς θείοις καὶ ἀκηράτοις ἐνορμίζεται
λιμέσι. καὶ συγκατατίθενται καὶ οὗτοι τῷ θείῳ διδασκάλῳ Κοδράτῳ, πλοῦ-
τος ὑπέρτιμος τῇ Κορίνθῳ, τὰς μαρτυρικὰς μαρμαρυγὰς ἐκεῖθεν ἐφαπλοῦντες
πάσῃ τῇ περιγείῳ.*

11. *Τοῦ δ᾽ αὐτοῦ τούτου θιάσου καὶ τῆς αὐτῆς πανηγύρεως καὶ πλείους*
205 *ἕτεροι κατεφάνησαν, ὧν ἡ Κόρινθος τοῖς μαρτυρικοῖς ἐνεκαλλωπίσατο ἄθλοις.
καθαρὰ γὰρ ἄνωθεν καὶ ἀκίβδηλα παρὰ Παύλου τὰ τῆς εὐσεβείας ὑποδε-
ξαμένη σπέρματα, ἐς κόρον δὲ καὶ τῶν τοῦ Κοδράτου ναμάτων ἐκροφήσασα,
κλάδους εὐκλεεῖς ἀνήνεγκε τῇ καθολικῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ, οὓς οὔτ᾽
ἀπιστίας ἔτι χειμῶνες, οὔτ᾽ ἄγριοι καὶ καταιγίζοντες ἄνεμοι, ὁποίους ὁ τῆς*
210 *ἱερᾶς στρατιᾶς ἀντίπαλος ἐν τοῖς καιροῖς ἐκείνοις βαρύς τις καὶ βίαιος ἐν-
σκήψας ἐνέπνευσε, παρατρέψαι τὸ παράπαν ὤφθη δυνηθείς, ἀλλὰ φανερᾶς
τῆς ἥττης αὐτῷ περιτραπείσης ἀπῄει, κληρονόμος τῆς αἰσχύνης καταστὰς
καὶ κατηφείας ἀθλητὴς αὐτὸς αὐτῷ γενόμενος. Τέρτιος μὲν οὖν ἐκεῖνος, μαρ-
τυρικοῦ φόνου τὴν δεξιὰν πληρώσας, ὡς ἐνῆν, ὑπερόριος τοῦ παρόντος βίου*
215 *καθίσταται, φυγαδείαν ἀΐδιον τοῦ θανάτου καταδιαιτήσαντος αὐτῷ, καὶ πρὸς
κόλασιν ἀδιάδοχον παραπέμψαντος.*

12. *Βενοῦστος δέ τις ὄνομα, πονηροῦ πονηρὸς διάδοχος, ἡγεμὼν γίνε-
ται, ὃς μιαιφόνους ἐντολὰς παρὰ τοῦ βασιλέως ἀναδεδεγμένος κατὰ τῶν εὐ-
σεβῶν πλήρεσιν ἱστίοις, ὡς εἰπεῖν, ἐς Κόρινθον ἔρχεται, καὶ πολὺν ἀναφλέ-*
220 *ξας ἐκεῖ πυρσὸν ἀσεβείας, καὶ πολλοὺς τῷ Χριστῷ παραστησάμενος μάρτυ-
ρας, συλλαμβάνει σὺν πᾶσι τούτοις καὶ ἑτέρους οὐκ ὀλίγους θιασώτας τῆς
ἱερᾶς τοῦ Κοδράτου σχολῆς. ὧν Λεωνίδης πρῶτος εἰς τὸ μαρτυρικὸν ἀπαν-
τήσας στάδιον, μετεωρίζεται πρῶτον ἐφ᾽ ὑψηλοῦ τινος ξύλου, καὶ ἀπηνῶς
καταξαίνεται κα ἰ πυρὸς λαμπάσι περικαίεται. εἶτα κατενεχθείς, οὐκ ἐδυσώ-*
225 *πησεν οὐδέπω τὸ τοῦ ἡγεμόνος ἀμείλικτον, τοσαύτας ὑποστὰς κακώσεις·
ἀλλ᾽ ὥσπερ ἐξ ὑπαρχῆς ἑτέραις μείζοσιν αὖθις παλαίειν παρασκευάζεται. καὶ
δὴ τῶν ἱματίων γυμνωθεὶς ἐπὶ σιδηρῶν τριβόλων τείνεται, ἄνωθεν δὲ ῥά-
βδοις ἀπηνῶς τύπτεται, ὡς μηδ᾽ ἔχειν μηδ᾽ ἐφ᾽ ἑνός τινος μέρους ἀνώδυνος*

-ων *d* *τὸ* codd.: *τῷ* *d* 194 *ἐκπυρώσας* G*d*: *ἐκπυρσεύσας* B^+ 195 *μέσην* B (co-
niec. *d*): *-ον* G 197 *θείῳ* B (coniec. *d*): *θεῷ* 198 *σεραπίων* B (coniec. *d*): *-ίον* G
202 *μαρμαρυγὰς* om. G (et *d*, qui vero *εὐεργεσίας* post *περιγείῳ* addit) 204 *τούτου*
του *G 209 *κατεγίζοντες* G* 213 *γενόμενος* G*d*: *γεγενημένος* B^+ 222 *κοδράτος* B
225 *ἀμείλικτον* B (coniec. *d*): *ἀμιλ-* G 226 *ἑτέραις* B (coniec. *d*): *ἑτέρας* G 228 *μὴ*

μένειν. ἀλλὰ κάτωθεν μὲν δριμείας ὑπομένειν τὰς ἀλγηδόνας ἄχρις ὀστέων
230 *αὐτῶν συγκαθιεμένης τῆς τῶν τριβόλων ἀκμῆς, ἄνωθεν δὲ τῇ συνεχεῖ καὶ*
ἀλλεπαλλήλῳ καταφορᾷ τῶν ῥάβδων κοπτομένης οἰκτρῶς τῆς σαρκὸς καὶ
(ὢ ψυχῆς εὐγενοῦς καὶ καρτερίας γενικωτάτης, ἢ πᾶσαν ἐξέπληξε φύσιν ἐπί-
γειόν τε καὶ οὐράνιον) οὐδ' ἄχρι σχήματος ἐχαλέπαινεν, ἀλλ' ἔχαιρε τὴν
σάρκα βλέπων περιρρεομένην τοῖς πλουσίοις ἐκείνοις αἵμασιν, ὥσπερ νυμ-
235 *φίος εὐπάρυφος, χρυσοϋφέσιν ἐστολισμένος τοῖς ἱματίοις. ἀλλὰ γὰρ ἔδει*
συντηρηθῆναί πως τὸ ἱερὸν ἐκεῖνο καὶ ἀθλητικὸν σῶμα καὶ πρὸς ἑτέρας βα-
σάνους, καὶ μὴ πρότερον διαρρεῦσαι πρὶν κορεσθῆναι τὸν δήμιον ἐκεῖνον καὶ
ἀπηνῆ τύραννον, καὶ ἐκπλῆσαι τὸ θυμούμενον τῆς ἀθέου ἐκείνου καὶ θηριώ-
δους ψυχῆς, καὶ πρὸς τὰ χείρω γυμναζούσης ἐς ἀεὶ τὴν πρόθεσιν. καὶ σκό-
240 *πει δή μοι οἷόν νεανιεύονται καὶ οἷα κατὰ τοῦ μάρτυρος παίζουσι παίγνια.*
ἐπειδὴ γὰρ τοσαύτην ἐνειργάσαντο τὴν βάσανον κατὰ τοῦ μαρτυρικοῦ σώ-
ματος, ἐπ' ἐσχάραις ἀμέλει πυρὸς ἐφαπλοῦσιν, ἵνα μὴ ῥυῇ δῆθεν ἐς τὸ παν-
τελὲς καὶ ἀποψύξαν ἀπείπῃ, ἀλλὰ μαρανθῶσι μὲν οἱ τοῦ αἵματος ῥύακες,
ἐκτηγανισθῇ δὲ πᾶν, εἴ τι φλεγμαῖνον εἴη καὶ σεσηπός. ἐπεὶ δὲ οὐδὲν ὁ τύ-
245 *ραννος ἤνυεν, ἀλλὰ διὰ πάντων ἰὼν καὶ διὰ πάντων ἡττᾶτο, ῥεύμασι θα-*
λαττίοις προστάττει ῥιφῆναι σὺν γυναιξὶν ὁσίαις οὐκ ὀλίγαις, αἳ τὸν αὐτὸν
τότε διήνυον ὑπὲρ τῆς εὐσεβείας ἆθλον, καὶ τὸ μαρτυρικὸν ἐκεῖνο καὶ αὐταὶ
συνεκρότουν θέατρον, ἀρρενώσασαι τὴν φύσιν ταῖς ἀρρενικαῖς ἀρδείαις τοῦ
Κοδράτου, ὧν τὰ ὀνόματα διὰ τὸ ἀξιομνημόνευτον ἐνταῦθα ἐκθήσομαι.
250 *Χαρίεσσα μὲν ἦσαν καὶ Νουνεχία, αἱ τῆς χάριτος καὶ νοῦ σώφρονος πεπλη-*
ρωμέναι· Βασίλισσά τε καὶ Νίκη, αἱ βασιλικῶς κατὰ τῆς ἀσεβείας ἀνδρι-
σάμεναι, καὶ νίκης ἀναδησάμεναι στέμματα· Καλή τε καὶ Γαλήνη, αἱ καλῶς
μὲν παρελθοῦσαι τὴν ἅλμην τοῦ βίου, καὶ πρὸς ἀπαθείας ἐληλυθυῖαι γαλήνην·
καὶ πρός γε ἔτι Θεοδώρα, ἡ θεῖον τῇ Κορίνθῳ γενομένη σὺν ταῖς ἄλλαις
255 *δώρημα. τότε δὴ τότε λέγεται καὶ τὴν θάλατταν αἰδεσθῆναι τὰ μαρτυρικὰ*
ἐκεῖνα σώματα, καὶ μὴ ἐθελῆσαι ἐκπεπωκέναι, ἀλλ' ἐπὶ σταδίους ὑπηρετή-
σασθαι τριάκοντα, ὅσα καὶ ἤπειρος. λέγεται δ' οὖν καὶ τὴν Χαρίεσσαν κατὰ
τῶν κυμάτων πεζεύουσαν, ᾠδὴν τῷ κυρίῳ τοιαύτην ἀναβοῆσαι, ἐπακολου-
θούντων τῶν ἄλλων καὶ συνᾳδόντων· «ἓν μίλιον ἔδραμον, κύριε» καὶ «στρά-
260 *τευμα ἐδίωξας, κύριε» καὶ «οὐκ ἠρνησάμην σε, κύριε, σῶσόν μου τὸ πνεῦμα».*
ταῦτα δὴ τὰ τοῖς τῆς Μωσέως καὶ Ἀαρὼν ἀδελφῆς ῥήμασι παραπλήσια.

δ' ubique codd. *μηδ' ἔχειν* codd.: om. *d* 229 *ἀλγιδόνας* G* 231 *καὶ* codd.: om. *d* 232 *ὢ* B (coniec. *d*) : *ὦ* G *εὐγενοῦς* codd. : *εὐμε-* *d* 233 *ἐχαλέπαινεν* (*-ενεν* G*) G: *ἐχαλέπηνεν* B+ 234 *ἐκείνοις* codd.: *-ης* *d* *αἵμασι* G 235 *ἐστολισμένος* B (coniec. *d*): *-οις* G *ἱματιματίοις* *G 239 *ἐσαεὶ* B 240 *οἷον*] *οἷα* B 243 post *ἀλλὰ*] *καὶ* add. G 245 *καὶ* om. B 248 *ἀρρενώσασαι* codd.: *ἀρδεύσασαι* *d* 250 *ἦσαν* codd.: *ἦν οὖν* *d* *τῆς* om. B *τῶν* *d* 256 *ἐπισταδίους* *G 261 *τοῖς* codd.: om. *d*

εἶτα λίθους κατὰ τοῦ τραχήλου ἐξάψαντες, βίᾳ κατὰ τοῦ πυθμένος ὠθοῦσιν,
ὡς ἀπειπεῖν τε τοὺς μάρτυρας δεσμοῖς καὶ κύμασι μαχομένους καὶ οὕτω τοῦ
ζῆν ἐξεληλυθέναι καὶ θεῷ προσαχθῆναι θύματα τέλεια.
265 **13.** *Τοιαῦτα τοῦ θείου Κοδράτου τὰ γεώργια καὶ οἱ καρποὶ τῶν πόνων*
καὶ τοιαῦτα τὰ τῆς διδασκαλίας ἐκείνου βλαστήματα καὶ ἐς τοσοῦτον ηὔξησε
τὸ τοῦ χαρίσματος τάλαντον. Παῦλος μὲν γὰρ ἐκ τῆς ὄντως σοφίας ἀντλεῖ
τὰς πηγὰς τῆς διδασκαλίας· οὗτος δ' ἐξ ἐκείνου μετειληφὼς τοῖς ἄλλοις μετ-
έδωκε, καὶ οὐκ εἰς τριάκοντα καὶ ἑξήκοντα μόνον, ἀλλ' ἤδη καὶ εἰς ἑκατον-
270 *ταπλάσιον τὸ τοῦ χαρίσματος ηὔξησε τάλαντον· ὥστε καὶ πεπείσμεθα πάν-*
των ἀπολαύειν ἐξεῖναι νῦν αὐτῷ παρὰ θεοῦ τῶν καλῶν, καὶ μὴ τὰς μὲν τῶν
μονῶν εἰς κατοικίαν ἀπολαμβάνειν, τὰς δὲ μή· ἀλλ' ἑνί γέ τῳ τρόπῳ τῶν
ὅλων ἐπίσης κληρονομεῖν, ὡς υἱὸς εὐάρεστος ἀναφανεὶς τῷ θεῷ καὶ πατρὶ
καὶ διὰ πασῶν ὁδεύσας τῶν αὐτοῦ ἐντολῶν, καὶ πάντα κατωρθωκὼς ἄριστα
275 *πάντων, ἃ παρὰ μέρος ἕκαστοι. ταύτῃ τοι καὶ ἀπολαύειν φαμὲν καὶ παρὰ*
μέρος ἅπερ οὐχ ἅπαντες καὶ σύν γε τοῖς ἄλλοις ἅπερ ἕκαστοι· καὶ γνωρί-
ζουσιν ἅπαντες τὰ τῆς συνήθους ἀρετῆς ἐπ' αὐτῷ σύμβολα. καὶ προσδέχον-
ται μὲν συγχορευτὴν ἀσκηταὶ καὶ κοινωνὸν ποιοῦνται τῆς σφῶν εὐφροσύνης,
ὥσπερ ὀφειλήν τινα ταύτην ἀπαραίτητόν τε καὶ ἀξιόχρεων ἐκτιννύντες αὐτῷ·
280 *ἐπεί τοί γε καὶ αὐτὸς πολλῆς αἴτιος τῆς εὐφροσύνης αὐτοῖς καθίστατο πρό-*
τερον, ὁπότε τὸν αὐτὸν αὐτοῖς ἔτρεχε δίαυλον; πρὸς τὰς ἐξουσίας παραταττό-
μενος τοῦ σκότους τοῦ αἰῶνος τούτου, καὶ ἀναίμακτα καθ' ὥραν ἀνεγείρων
τρόπαια. Ἀπόστολοι δέ, καὶ πρό γε πάντων ὁ μέγας κῆρυξ καὶ κορυφαῖος
Παῦλος, πάρεδρον ποιοῦνται καὶ συνεστιάτορα τῆς κοινῆς εὐωχίας τοῦ και-
285 *νοῦ καὶ μεγάλου θύματος, ὡς δεύτερον καὶ θερμότερον κήρυκα τοῦ ἐκείνων*
Εὐαγγελίου ἐπ' ἐκείνους ἀναφανέντα, καὶ διατρανώσαντα τὴν ἐκείνου φω-
νήν, καὶ μὴ τὸ καθ' αὐτὸν μόνον προμηθευσάμενον, καταχώσαντα δὲ τὸ τοῦ
δεσπότου τάλαντον, παραπλησίως ἐκείνῳ τῷ πονηρῷ καὶ ἀγνώμονι δούλῳ·
ἢ σπείραντα μέν, οὐκ ἐπ' εὐλογίαις δέ, ἀλλὰ κακοτρόπως ἐφ' ὑδάτων καὶ
290 *πετρῶν καὶ βάτων, ὅπῃ καὶ τὸ τῆς σπουδῆς ἀνόνητον, καὶ τὸ τέλος ἀτελεσφό-*
ρητον· ἀλλ' ὡσπερεί τινι βασάνῳ τῷ λόγῳ προσάγων τὰς τῶν πολλῶν δια-
θέσεις καὶ κρίνων ἕκαστα καὶ τῇ μαχαίρᾳ τοῦ πνεύματος διαιρῶν τὸ κρεῖτ-
τον ἀπὸ τοῦ χείρονος, εἶτα τὸ Εὐαγγέλιον παρεγύμνου καὶ παρετίθει τὴν
ἀλήθειαν, ὥσπερ ἥλιον ἀποπεμπομένην ἐκ μέσου κακίας ἁπάσης σκοτόμαι-
295 *ναν καὶ οὕτω προσῆγε δῆμον ὅλον θεῷ, τοὺς μὲν ἄνευ αἵματος ἀθλητικοῦ,*
τοὺς δ' οὐκ ἄνευ τούτου· καὶ ἀμφοτέρων καθηγούμενος, οὐ λόγῳ μόνον ἀλλὰ

---

262 *τοῦ τραχήλου* G*d*: *τῶν τραχήλων* B+ *ἐξάψαντες* codd.: *-άπτοντες* *d* 265 *τοιαῦτα* *G 266 *διδασκαλίας* B (coniec. *d*): *-είας* G 268 *τοῖς διδασκαλίοις* B 272 *τῳ* codd.: *τῷ* *d* 283 *πρό* codd.: *πρός* *d* 284 *κοινῆς* *d*: *και-* codd. 286 *ἐκείνου* G*d*: *-ων* B+ 288 *τῷ* bis *G *καὶ ἀγνώμονι* om. G (G+?) *d* 291 *προσάγων τὰς* B: *προσάγοντας* G *προσάγοντα τὰς* *d* 291-292 *διαθέσεις* om. B 294-295 *σκοτόμαιναν*

καὶ ἔργοις αὐτοῖς, τῶν μὲν τῆς κατὰ θεὸν ἀσκήσεως, τῶν δὲ τῆς διὰ Χριστὸν ἀθλήσεως· ἵνα 'μή', ὅ φησι Παῦλος, 'τοῖς ἄλλοις κηρύττων, αὐτὸς ἀδόκιμος φαίνηται', κἀντεῦθεν καὶ χαλκὸς καὶ κύμβαλον ἄντικρυς ἀκούῃ· ἀλλὰ τὰ
300 *στίγματα τοῦ κυρίου καὶ αὐτὸς ἐν τῇ σαρκὶ βαστάζων, κῆρυξ ἦν ὡς εἰπεῖν ἀνεκλάλητος καὶ διδάσκαλος ἔμπρακτος, λόγου μὲν ἧττον δεόμενος πλὴν ἢ ὅσον σκιαγραφῆσαι καὶ προϋπογράψαι ταῖς τῶν ἀκουόντων ψυχαῖς τὴν ἀλήθειαν· τὰ δὲ πολλὰ τῇ πρακτικῇ χρώμενος ἐπὶ τῶν λόγων, ὅσα κἀπὶ τῶν σκιῶν οἱ ζωγράφοι τοῖς χρώμασι, πρὸς δήλωσιν ἐντελῆ καὶ λαμπρὰν τῆς*
305 *ἀληθείας ἐνάργειαν. καὶ νῦν ἀπολαύεις, ὁ εὐλογημένος τοῦ οὐρανίου πατρός, τῶν ἡτοιμασμένων σοι αἰωνίων καὶ ἀκηράτων ἀγαθῶν, ἃ μήτε εἰς ὄψιν ἐλθεῖν ἀνθρωπίνην μεμαθήκαμεν, μήτ' ἐπὶ καρδίαν χαμαὶ ἐρχομένην καὶ χαίρεις ἐντυγχάνων ἀμέσως τῷ ἀθλοθέτῃ Χριστῷ. μέμνησο δὲ καὶ ἡμῶν ἑορτὴν ποιουμένων τὰ σά, καὶ πᾶσαν ἔφοδον ἐχθρῶν, τῶν τ' ἐξ ἀφανοῦς βαλ-*
310 *λόντων τῶν τ' ἐκ τοῦ φαινομένου, βυθοῖς ἀπωλείας παράπεμπε, καὶ πᾶσαν ἐξομάλισον βιωτικὴν δυσχέρειαν, ὡς ἂν ἀκινδύνως τὴν ἅλμην τοῦ βίου παραδραμόντες τοῖς θείοις καταλύσωμεν λιμέσι, τῇ σῇ δεξιᾷ κυβερνώμενοι, καὶ διὰ σοῦ τῇ τοῦ σωτῆρος Χριστοῦ καὶ θεοῦ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας ⟨τῶν αἰώνων⟩. ἀμήν.*

---

298 s. I Cor. 9, 27 (*κηρύξας / γένωμαι*) 310 *βυθοῖς ἀπωλείας* : cf. Gregor. Naz. or. 4 (c. Iul.1), 56 = PG XXXV 579b (*ἐπὶ τὸ τῆς ἀπωλείας βάραθρον*) ; cf. et Greg. Vita Basilissae = p. 48 Bezdechi (*πρὸς βυθοὺς ἀπωλείας*); laus Mercurii 3,3 = $73,_{13-14}$ Binon (*πρὸς ἀπωλείας... βάραθρά τε καὶ κρημνούς*) 313-314 *ᾧ ∽ ἀμὴν* : cf. I Tim. 1,17; Gal. 1,5; Phil. 4,20; cf. et Greg. Vita Theoph. 27 = $45,_{10-13}$ Kurtz; laus Mercurii 7 = $91,_{3-5}$ Binon; antirrh. pr. 3,5,13 = $431,_{18-19}$ Beyer

---

codd.: *-μηνον d* 300 *κήρυξ* B 301 *πλὴν* om. G*d* 304 *ἐντελῆ* codd.: *εὐ- d* 305 *ἐνάργειαν* codd.: *ἐνέρ- d* *ἀπολάβεις* G* 306 *καὶ* om. G*d* 313 *πᾶσα* om. G (num G+?) *d* 314 inserui: om. codd. an Gregoras?

PIETRO LUIGI M. LEONE

Η ΒΑΣΙΛΙΚΗ ΤΩΝ ΚΕΓΧΡΕΩΝ*

Ὁ ἀρχαιολογικὸς χῶρος τῶν Κεγχρεῶν, τοῦ ἀνατολικοῦ λιμένος τῆς Κορίνθου, ἐπὶ τοῦ Σαρωνικοῦ, ὅπου εἶχε διατρίψει ὁ Ἀπόστολος Παῦλος, ἡ δὲ πρωτοχριστιανικὴ κοινότης εἶχεν ἐπιδείξει θερμὴν ἀδελφοσύνην (Ρωμ. 16,2), ἦτο ἑπόμενον νὰ προσελκύσῃ ἐνωρὶς τὴν περιέργειαν τοῦ παλαιοτέρου τῶν ἐρευνητῶν τῶν χριστιανικῶν μνημείων τῆς Ἑλλάδος, ἐννοῶ τὸν Γεώργιον Λαμπάκην, τῆς ρωμαντικῆς περιόδου τῆς ἑλληνικῆς χριστιανικῆς ἀρχαιολογίας· εἰς τὰς ἀρχὰς τοῦ αἰῶνος μας ἐπεσήμανεν οὗτος εἰς τὰς Κεγχρεάς, ἐκτὸς τῶν ἄλλων, παλαιοχριστιανικὴν βασιλικήν, περὶ τῆς ὁποίας ἔγραψεν ὅτι τὸ ἱερὸν βῆμα καὶ ἱκανὸν μέρος τοῦ ναοῦ κατακλύζεται ὑπὸ τῆς θαλάσσης[1]. Ὁ Α. Κ. Ὀρλάνδος, τῆς θετικιστικῆς ἤδη περιόδου ἀλλὰ μὴ ὑπολειπόμενος εἰς ζῆλον, ἐπεχείρησε νὰ μελετήσῃ μὲ σχετικὴν ἀκρίβειαν τὴν βασιλικὴν ἐκείνην τοῦ Λαμπάκη καὶ τὰ ἄλλα γύρω της λείψανα, κατέληξεν ὅμως εἰς τὸ συμπέρασμα, ὅτι τὰ ἐρείπια ἐκεῖνα δὲν ἀνήκουν εἰς παλαιοχριστιανικὴν βασιλικὴν ἀλλ' εἰς πολύπλοκον ρωμαϊκὸν οἰκοδόμημα, «μία τῶν αἰθουσῶν τοῦ ὁποίου... ἔτυχε νὰ ἔχῃ τὸ σχῆμα μονοκλίτου βασιλικῆς», ἡ ὁποία ἐν τούτοις «δὲν εἶναι ἀδύνατον νὰ ἐχρησιμοποιήθη ἀργότερον ὑπὸ τῶν χριστιανῶν διὰ τὴν λατρείαν των». Καὶ ἐπιλέγει : «Ποῦ δὲ ἔκειτο καὶ ποῖον σχῆμα καὶ μέγεθος εἶχεν ἡ παλαιὰ βασιλικὴ — ὁ Ὀρλάνδος προϋποθέτει ὕπαρξιν βασιλικῆς — θὰ ἀποδείξωσιν ἀνασκαφαὶ ἐνεργούμεναι παρὰ τὸν λιμένα»[2]. Αἱ ἀνασκαφαὶ διεξήχθησαν πρὸ ὀλίγων ἐτῶν ὑπὸ τὴν αἰγίδα τῆς ἐν Ἀθήναις Ἀμερικανικῆς Σχολῆς Κλασσικῶν Σπουδῶν ἀπὸ μέρους τῶν Πανεπιστημίων τοῦ Σικάγου καὶ τῆς Ἰνδιάνας ὑπὸ τὴν γενικὴν διεύθυνσιν τοῦ κ. Ρόμπερτ Σκράντον. Τὰ ἐν λόγῳ ἐρείπια κεῖνται ἐπὶ τῆς νοτιοανατολικῆς προβλῆτος τοῦ ἀρχαίου λιμένος. Αἱ ἀνασκαφαί, πολὺ ἀποδοτικαὶ εἰς σπάνια εὑρήματα ἄλλα, ἀλλὰ καὶ ἐξαιρετικῶς δύσκολοι λόγῳ τῶν ἀλλεπαλλήλων οἰκοδομικῶν ἐπεμβάσεων — ὁ κ. Σκράντον διακρίνει ἕνδεκα οἰκοδομικὰς περιόδους — καὶ ἐπειδὴ

---

* Τὰ σχέδια εἰκ. 5, 9, 10 καὶ 11 ἐξεπονήθησαν προθύμως ὑπὸ τῆς ἀρχιτέκτονος Κας Καλλισθένης Ἀβδελίδη. Τὴν εὐχαριστῶ θερμότατα.

1. Γεωργίου Λαμπάκη, Χριστιανικαὶ Κεγχρεαί, Miscellanea di Archeologia, Storia e Filologia dedicata al prof. A. Salinas, Palermo 1907, σ. 76.

2. Ἀ. Κ. Ὀρλάνδου, Ἡ βασιλικὴ τῶν Κεγχρεῶν, Πρακτ. Ἀκαδ. Ἀθηνῶν 10, 1935, σσ. 55 - 57.

μέρος τοῦ ἐδῶ ἀρχαιολογικοῦ χώρου εὑρίσκεται ἤδη ὑπὸ τὴν ἐπιφάνειαν τῆς θαλάσσης, ἐπεβεβαίωσαν μὲν τὴν ἐκεῖ ὕπαρξιν παλαιοχριστιανικῆς βασιλικῆς, τὰ σχετικὰ πρὸς αὐτὴν ὅμως ζητήματα ἀπεδείχθησαν καὶ μετὰ τὴν ἀνασκαφὴν περίπλοκα. Γενικῶς περὶ τῶν ἐρειπίων τῆς παλαιοχριστιανικῆς βασιλικῆς δὲν προῆλθον ἀσφαλῆ τεκμήρια ἐγγυώμενα τὴν ἄμεσον κατανόησιν καὶ ἀποκατάστασιν τῆς κατόψεώς της.

Ἔχω ἤδη ἐπὶ τοῦ προκειμένου διατυπώσει συγκεκριμένην ἄποψιν[1]. Ἐπανέρχομαι εἰς τὸ θέμα μετὰ τὴν τελικὴν δημοσίευσιν τῶν πορισμάτων περὶ τῶν ἐν Κεγχρεαῖς ἀνασκαφῶν[2].

Ὑποστηρίζεται ὅτι ἡ ἐδῶ χριστιανικὴ βασιλικὴ διεδέχθη τὸ ὑπὸ τοῦ Παυσανίου μαρτυρούμενον ἱερὸν τῆς Ἴσιδος (Παυσαν. II 2, 3), τοῦτο ἐκτισμένον ἐπὶ τῆς θέσεως αὐλῆς, ἡ ὁποία περιέκλειε προηγουμένως μικρὸν τετράπλευρον οἰκοδόμημα, πιθανῶς μικρὸν ναὸν ἢ ᾠρεῖον. Ἡ αὐλὴ ἐξετείνετο πρὸς Β.[3] «δρόμου» ἀρχομένου ἀπὸ Δ., ἀπὸ στενοῦ διαδρόμου — ἐκτεινομένου ἀπὸ Β. πρὸς Ν. — καὶ φέροντος πρὸς Α., εἰς ἀψιδωτὴν ἄλλην αὐλὴν περικλείουσαν κρήνην μὲ πίδακα, ἀναγομένην δὲ ὑπὸ τοῦ κ. Ρ. Σκράντον εἰς τὴν πέμπτην περίοδον οἰκοδομικῶν ἐργασιῶν, τὴν ὁποίαν καὶ χρονολογεῖ εἰς τοὺς χρόνους περὶ τὸ 100 μ.Χ.[4] Ὁ «δρόμος» θεωρεῖται ἀρχαιότερος τῆς αὐλῆς μὲ τὴν κρήνην, ὑποτίθεται δὲ ὅτι καθ' ὅλον τὸ μῆκος τῆς νοτίας πλευρᾶς του εἶχε στοὰν μὲ κιονοστοιχίαν[5]. Ἡ πρώτη αὐλὴ — μὲ τὸν πιθανῶς ναΐσκον — θεωρεῖται ὅτι ἀνήκει εἰς τὴν ἕκτην οἰκοδομικὴν περίοδον, ἀναγομένην εἰς τὸν 3ον αἰ. μ.Χ. Κατὰ ἑβδόμην καὶ ὀγδόην τινὰ περίοδον, περὶ τὸ 375 μ.Χ., ἡ μὲν αὐλὴ αὕτη διεμορφώθη, ὡς ὑποστηρίζεται, εἰς αἴθουσαν μὲ δάπεδον ἐστρωμένον πιθανῶς τότε διὰ ψηφιδωτοῦ, ἀμφικλινῆ στέγην, νάρθηκα καὶ πρὸς Α. ἀψῖδα, παραλλήλως δὲ ὁ «δρόμος» — ὁ ὁδηγῶν πρὸς τὴν αὐλὴν μὲ τὴν κρήνην — ἔγινε μνημειωδέστερος δεχθεὶς καὶ δευτέραν στοάν, αὐτὴν κατὰ μῆκος τῆς βορείας πλευρᾶς του. Πρὸς Β. καὶ ἐν ἐπαφῇ πρὸς τὴν ἀψιδωτὴν αἴθουσαν προσετέθησαν τότε καὶ δύο διαδοχικοὶ ἐπιμήκεις χῶροι ἴσοι πρὸς τὸ μῆκος καὶ τὸ πλάτος τῶν στοῶν τοῦ «δρόμου» (εἰκ. 1). Ἀποκαθίστανται οὕτω

---


1. D. I. Pallas, Les monuments paléochrétiens en Grèce découverts de 1959 à 1973, Città del Vaticano 1977, σσ. 171 - 172, εἰκ. 116.

2. Robert Scranton-Joseph W. Shaw-Leila Ibrahim, Kenchreai, Eastern Port of Corinth, I, Topography and Architecture, Leiden 1978.

3. Οἱ ἀκολουθοῦντες προσδιορισμοὶ τῶν ἀξόνων τῶν περιγραφομένων οἰκοδομημάτων, κατὰ τὰ τέσσαρα σημεῖα τοῦ ὁρίζοντος, χρησιμοποιοῦνται συμβατικῶς, ἁπλῶς δ' ἐν σχέσει πρὸς αὐτά, μετὰ τῶν ὁποίων οἱ πρῶτοι συνάπτονται διὰ γωνίας μικροτέρας τῆς ὀρθῆς.

4. Scranton et all., σσ. 55 κἑξ., 60 καὶ 70, εἰκ. 28.

5. Αὐτόθι, σσ. 61 κἑξ.




1. Κεγχρεαί. Ὁ ἀρχαιολογικὸς χῶρος μὲ τὸ θεωρούμενον Ἰσεῖον (Ρ. Σκράντον).

ὑπὸ τοῦ κ. Ρ. Σκράντον ἓξ ἐν ὅλῳ — μετὰ τοῦ «δρόμου» — διαδοχικῶς παράλληλοι καὶ ἰσομήκεις χῶροι, προσιτοὶ ἰδιαιτέρως ἕκαστος ἀπὸ Δ., ἐκ τοῦ ἀπὸ Β. πρὸς Ν. ἐκτεινομένου στενοῦ διαδρόμου, θεωρεῖται δὲ ὅτι συνιστοῦν τὸ ὑπὸ τοῦ Παυσανίου μνημονευόμενον Ἰσεῖον[1], μὴ ταυτιζόμενον βεβαίως πρὸς τὸ οἰκοδόμημα τὸ μνημονευόμενον ὑπὸ τοῦ ἀρχαίου περιηγητοῦ. Ὁ βίος τοῦ νεωτέρου τούτου Ἰσείου φέρεται βραχύτατος· θεωρεῖται ὅτι τοῦτο κατεστράφη κατὰ τοὺς σεισμοὺς τοῦ ἔτους 375 μ.Χ.[2] καὶ ὅτι μετὰ τὴν οὕτως ἐρήμωσιν τοῦ χώρου ἐδημιουργήθησαν εὐνοϊκαὶ συνθῆκαι διὰ τὴν ἐκχριστιάνισίν του.

Ἡ χριστιανικὴ — ἐνάτη καὶ δεκάτη — περίοδος τοῦ ἐν Κεγχρεαῖς ἀνασκαφέντος χώρου συμπίπτει κατὰ τὸν κ. Ρ. Σκράντον πρὸς τὴν περίοδον στερεώσεως τῶν ἐρειπίων καὶ τὴν μετατροπὴν τοῦ ἄλλοτε Ἰσείου εἰς χριστιανικὴν βασιλικήν. Τὴν ἀποκαθιστᾷ μονόκλιτον, μὲ νάρθηκα καὶ ἔχουσαν ἑκατέρωθεν τῶν μακρῶν πλευρῶν της — κατὰ μῆκος καὶ ἐν ἐπαφῇ — ἐπιμήκεις χώρους, ἀλλ' ἄνευ ἐπικοινωνίας μεταξὺ τῆς βασιλικῆς καὶ μεταξύ των. Τὸν πρὸς Δ. — ἀπὸ Β. πρὸς Ν. — στενὸν διάδρομον θεωρεῖ ἐστεγασμένον πλέον καὶ λειτουργοῦντα ὡς ἐξωνάρθηκα. Δυτικῶς τοῦ ἐξωνάρθηκος τούτου ὡρισμέναι ἐκ τῶν ἄλλοτε λιμενικῶν ἀποθηκῶν διεσκευάσθησαν εἰς βαπτιστήριον, ἡ κολυμβήθρα τοῦ ὁποίου, τετράπλευρος, ἐστεγάσθη ὑπὸ κιβωτίου. Τέλος ἡ ἀψιδωτὴ αὐλὴ μὲ τὴν κρήνην, ἡ προσιτὴ ἐκ τοῦ «δρόμου», μετετράπη εἰς ἀψιδωτὸν παρεκκλήσιον (εἰκ. 2). Κατὰ τὸν κ. Ρ. Σκράντον ὁ «δρόμος» διετήρησε καὶ κατὰ τὴν χριστιανικὴν περίοδον τοῦ προκειμένου χώρου τὴν ἀρχικὴν λειτουργίαν του, ὡς διαδρόμου, μὲ τὴν διαφορὰν ὅτι ἡ βορεία στοά του ἀφ' ἑνὸς ἐδέχθη εἰς τὰ μετακιόνιά της τοιχοποιίαν καὶ ἀφ' ἑτέρου περιωρίσθη εἰς μῆκος κατ' Α. καὶ εἰς ἀπόστασιν 2,00 μ. ἀπὸ τοῦ ἀρχικοῦ πρὸς Α. πέρατός της διὰ τοίχου ἐγκαρσίου πρὸς τὴν κιονοστοιχίαν· ἐστρώθη ὅμως τώρα ὁ ἀρχαῖος διάδρομος διὰ μαρμαροθετήματος ἐκ πολυχρώμων πλακῶν, διὰ νὰ ὁδηγῇ εἰς τὸ παρεκκλήσιον, ἀλλὰ συγχρόνως καὶ περιώρισαν τότε τὸ πλάτος του μὲ τὸ νὰ κατασκευάσουν ἐν ἐπαφῇ πρὸς τὴν νοτίαν στοάν του καὶ καθ' ὅλον τὸ μῆκος του ἕδρανον πλάτους 0,50 μ. Παραλλήλως ὁ πρὸς Δ. ἐπιμήκης διάδρομος — ὁ «ἐξωνάρθηξ» — ἐκ τοῦ ὁποίου ἐγίνοντο προσιτοὶ οἱ ἀνωτέρω χῶροι, τὸ βαπτιστήριον καὶ οἱ χῶροι τῆς, ὡς εἴπομεν, μονοκλίτου βασιλικῆς ἐστρώθησαν διὰ ψηφιδωτῶν[3]. Ὡς χρονικὸν ὅριον τῆς κατασκευῆς τῶν ψηφιδωτῶν καὶ τοῦ μαρμαροθετήματος προτείνονται οἱ ἀπὸ τοῦ τέλους τοῦ 4ου αἰ. χρόνοι — τὸ ἐνωρίτερον — μὲ γενικῶς ὅριον συμπληρώσεως τῶν σχετικῶν πρὸς τὴν ἐκκλησίαν ἐργασιῶν τὸν 5ον αἰ.[4] Κατὰ τὸν κ. Ρ. Σκράντον κατε-


1. Ἔνθ' ἀνωτ., σσ. 63 - 64, 70 - 71, 76 καὶ 147.
2. Αὐτόθι, σσ. 65 καὶ 75 - 76.
3. Αὐτόθι, σσ. 65 κἑξ., 71 καὶ 77 - 78.
4. Αὐτόθι, σσ. 107 - 114, 115 καὶ 116 - 120.



2. Κεγχρεαί. Ἡ χριστιανικὴ περίοδος μὲ τὴν θεωρουμένην ὡς παλαιοχριστιανικὴν βασιλικὴν (Ρ. Σκράντον).

στράφη τὸ ἐκκλησιαστικὸν τοῦτο συγκρότημα περὶ τὰ τὰ τέλη τοῦ 6ου ἢ τὰς ἀρχὰς τοῦ 7ου αἰ., ὅτε καὶ ἠκολούθησε περίοδος — ἐνδεκάτη — πτωχικῆς ἀνοικοδομήσεως καὶ ἀργῆς καὶ χρονιζούσης παρακμῆς, μὲ λείψανα πυρᾶς καὶ ταφὰς μέχρι τῆς τελείας ἐγκαταλείψεως τοῦ χώρου[1].

Διὰ τὴν κατανόησιν τῆς κτιριακῆς ἀνελίξεως τοῦ περιγραφέντος ἀρχαιολογικοῦ χώρου ἀπὸ τῆς κατὰ τὸν κ. Ρ. Σκράντον ἑβδόμης οἰκοδομικῆς περιόδου (εἰκ. 1) τὸ κρισιμώτερον καί, ὡς πιστεύω, πλέον βέβαιον ἀρχαιολογικὸν τεκμήριον συνιστᾷ ἡ βορεία κιονοστοιχία τοῦ «δρόμου», μὲ τὰς κατὰ χώραν σῳζομένας πέντε ἰωνιζούσας βάσεις[2]. Αὕτη βαίνει ἐπὶ στυλοβάτου τοποθετημένου ἐπὶ τοῦ θεμελίου παλαιοτέρου διαλυθέντος τοίχου καὶ εἰς ὕψος κατὰ 0,25 μ. ὑπὲρ τὴν στάθμην τοῦ μαρμαροθετήματος τοῦ «δρόμου»[3]. Αἱ βάσεις ἀνήκουν εἰς ἁπλουστευμένον τύπον ἰωνικῆς βάσεως, τὸν ἐκ πλίνθου, καὶ μιᾶς σπείρας τεταρτοκυλινδρικῆς διατομῆς καὶ μὲ ἐπιφάνειαν ἁδρῶς




3. Κεγχρεαί. Ἰωνίζουσα βάσις κατὰ χώραν (Ρ. Σκράντον).

κατειργασμένην, οὕτως ὥστε νὰ δίδῃ τὴν ἐντύπωσιν τοῦ ἡμιτελοῦς· μὲ τὴν διαφορὰν ὅτι εἰς τὰς ἐδῶ βάσεις ἡ τεταρτοκυλινδρικὴ ἐπιφάνεια τείνει νὰ γίνῃ πρισματική, ἐπὶ πλέον δ' αἱ πλίνθοι χαρακτηρίζονται διὰ τῶν γραμμάτων ΡΗ, λιθοξοϊκῶν σημάτων ἐπιμελῶς χαραγμένων (εἰκ. 3)[4].

Ὑπέδειξα ἤδη ὅτι ὁ ἀνωτέρω τύπος βάσεων χρησιμοποιεῖται ἰδίως ἀπὸ τῶν ἀρχῶν τοῦ 6ου αἰ. μ.Χ.[5], ἀλλ' ὁ κ. Ρ. Σκράντον, μολονότι χρονολογεῖ

1. Ἔνθ' ἀνωτ., σ. 67.
2. Βλ. ἀνωτ., σ. 296.
3. Scranton, et all., σ. 64.
4. Αὐτόθι, σσ. 64 καὶ 77, πίν. XXVIII B.
5. D. Pallas, Monuments découverts, σ. 172. Περὶ τοῦ τύπου τούτου βά-

καὶ αὐτὸς ἐκ πρώτης ὄψεως τὰς βάσεις εἰς τὸν 5ον αἰ. καὶ ἐπίσης ἐκ πρώτης ὄψεως θεωρεῖ καὶ αὐτὸς τὰ γράμματα ΡΗ ὡς λιθοξοϊκὰ σήματα, ἀποκλίνει ἐν τούτοις εἰς τὸ νὰ τὰ ἑρμηνεύσῃ ὡς χρονίαν — ὡς ἔτος ἀπὸ τῆς βασιλείας Διοκλητιανοῦ — νὰ χρονολογήσῃ δὲ τὰς βάσεις, συνεπῶς τὴν κιονοστοιχίαν καὶ τὴν κατ' αὐτὸν βορείαν στοὰν τοῦ «δρόμου», εἰς τὸ ἔτος 392 μ.Χ.[1] Ἐπειδὴ δ' ἐπὶ ἀποτμήματος κίονος ἐκ τοῦ αὐτοῦ χώρου, προφανῶς δ' ἐκ τῶν κιονοστοιχιῶν τοῦ προκειμένου οἰκοδομήματος, ἀπαντοῦν τὰ γράμματα ΟΡΓΙΛΑ (εἰκ. 4)[2], λιθοξοϊκὰ ἐπίσης σημεῖα, ὁ κ. Ρ. Σκράντον θεωρεῖ τὴν μεταξὺ τοῦ



4. Κεγχρεαί. Ἀπότμημα κίονος (Ρ. Σκράντον).

Ι καὶ τοῦ Α μικρὰν ἀμβλεῖαν χαραγὴν ὡς πιθανὸν δεύτερον σκέλος τοῦ γράμματος Λ (ΟΡΓΛΑ), τείνει ὅμως ν' ἀναγνωρίσῃ εἰς τὴν ἐν λόγῳ ὁμάδα γραμμάτων τὴν λ. ΟΡΓΙΑ, τὴν ὁποίαν καὶ ἐξηγεῖ ὡς ἐπίθετον προσγραφόμενον εἰς τὴν Ἶσιδα : «[Ἶσις] ὀργία»[3].

Νομίζω ὅτι, ἀπὸ τῆς ἐπόψεως τῆς ἱστορίας τῆς μορφῆς τῆς ἰωνικῆς βάσεως κατὰ τοὺς χρόνους τῆς ὀψίμου ἀρχαιότητος, δὲν ὑπάρχει ἀποχρῶν λόγος, ὁ ὁποῖος νὰ ὑποχρεώνῃ εἰς τὸ νὰ χρονολογηθοῦν αἱ βάσεις τοῦ οἰκοδομήματος τῶν Κεγχρεῶν, μὲ τὴν τεταρτοκυλινδρικὴν μάλιστα σπεῖραν των νὰ τείνῃ πρὸς τὸ ν' ἀποκτήσῃ κατατομὴν διέδρου γωνίας, εἰς χρόνους πρὸ τοῦ τέλους

σεων : Δ. Ἰ. Πάλλας, «Ἰουστινιάνεια» γλυπτὰ αἰσθητικῶς ἀνεπέργαστα, ἐν Εἰς μνήμην Παναγιώτου Ἀ. Μιχελῆ, Ἀθῆναι 1971, σσ. 420 κἑξ., ὅπου καὶ παραδείγματα ἐκ τῆς Κορίνθου καὶ τῆς περιοχῆς της. Πρβλ. J.-P. Sodini-K. Kolokotsas, Aliki, II : La basilique double (= Études Thasiennes X), Paris (1984), σσ. 32 - 35.

1. Scranton, et all, σσ. 73 - 77, Robert Scranton, De PH apud Cenchreas, Classical Philol. LXXI, 1976, σσ. 107 - 108.
2. Scranton et all., σ. 73, πίν. XXVIIIC.
3. Αὐτόθι.

τοῦ 5ου αἰ. Ἀλλὰ καὶ ἡ μορφὴ τῶν γραμμάτων δὲν ἐντάσσεται εἰς τὸν 4ον αἰ. Τὰ γράμματα ΡΗ μὲ τὸ ν' ἀπαντοῦν εἰς ὅλας τὰς βάσεις ὑποσημαίνουν ἀσφαλῶς σήματα ἐργαστηρίου ἢ ἁπλῶς τεχνίτου[1]. Ἀνάλογος εἶναι καὶ ἡ λειτουργία τῶν γραμμάτων ΟΡΓΙΛΑ εἰς τὸ ἀπότμημα κίονος· πιθανῶς, ὅμως ὑποσημαίνεται διὰ τούτων καὶ ἡ θέσις τοῦ κίονος (ἀτυχῶς διεσώθη ἓν μόνον παράδειγμα καὶ εἶναι παρακινδυνευμένον οἱονδήποτε συμπέρασμα)· ἀλλὰ παραδίδεται καὶ ἡ παρουσία μικρᾶς ἀμβλείας γραμμῆς μεταξὺ διαφόρων ὁμάδων γραμμάτων εἰς ἀρχιτεκτονικὰ μέλη διὰ πολλῶν παραδειγμάτων[2].


Εἶναι, συνεπῶς, κατάδηλον, οὐδεμιᾶς ἀμφιβολίας ἐπιτρεπομένης ἐπὶ τῇ βάσει τῶν ἀρχαιολογικῶν δεδομένων, ὅτι ἡ ἐπὶ τῶν ἰωνιζουσῶν βάσεων κιονοστοιχία, χρονολογουμένη ὡς ἀνωτέρω ἀνελύθη τὸ ἐνωρίτερον εἰς τὰς ἀρχὰς τοῦ 6ου αἰ., συνιστᾷ ὄχι τὴν ὄψιν στοᾶς ἐντὸς συγκροτήματος ἀρχαίων οἰκοδομημάτων — ἰσείου ἢ ἄλλου — τοῦ τέλους τοῦ 4ου αἰ., ἀλλὰ τὴν πρὸς Ν. ἀκραίαν κιονοστοιχίαν ὀψιμωτέρας τοὐλάχιστον κατὰ ἕνα αἰῶνα πεντακλίτου παλαιοχριστιανικῆς βασιλικῆς, τῆς ὁποίας ὁ θεωρηθεὶς ὡς «δρόμος» συνιστᾷ τὸ ἀκραῖον νότιον κλίτος (εἰκ. 5). Ἐκ τῆς βασιλικῆς ἐκείνης ἀπέμειναν, ἀτυχῶς, μόνον ὁ στυλοβάτης τῆς ἀνωτέρω κιονοστοιχίας μὲ τὰς βάσεις κατὰ χώραν, τὸ ἐν ἐπαφῇ πρὸς αὐτὴν ἀκραῖον νότιον κλίτος, ὡς ἤδη εἴπομεν, καὶ — προσθέτομεν — ὁ στυλοβάτης ὁ μεταξὺ τοῦ μεσαίου κλίτους καὶ τοῦ πρὸς Ν. διαμέσου πλαγίου κλίτους. Τῶν ἄλλων μερῶν τῆς βασιλικῆς δὲν διακρίνονται εἰ μὴ θεμέλια κατὰ τὸ πλεῖστον δ' ὑπὸ τὴν θάλασσαν. Ἀλλ' ἐντὸς τοῦ μεσαίου κλίτους διασώζονται κατὰ χώραν, ἂν καὶ διαταραγμένοι, οἱ βατῆρες τοῦ φράγματος τοῦ πρεσβυτερίου εἰς ἀπόστασιν 4,50 μ. ἀπὸ τῆς χορδῆς τῆς ἀψῖδος, μὲ τὴν ἄνω δ' ἐπιφάνειάν των εἰς στάθμην κατὰ 0,40 μ. ὑψηλοτέραν τοῦ ψηφιδωτοῦ τοῦ δαπέδου τοῦ κυρίως ναοῦ[3].

Ἐπὶ τοῦ στυλοβάτου τοῦ μεταξὺ τοῦ μεσαίου κλίτους καὶ τοῦ πρὸς Ν. ἑπομένου διασώζονται κατὰ χώραν πώρινοι δόμοι ἢ λείψανά των (εἰκ. 6, δεξιὰ καὶ ἀριστερὰ τῶν χαμηλὰ δύο παρενθέτων καὶ ἀμελῶς τοποθετημένων

1. Παραδείγματα: K. Wulzinger, Die Steinmetzzeichen der Bin-bir-Direk, BZ 22, 1913, σσ. 459-473, Friedr. Wilh. Deichmann, Ravenna, Haupstdadt des antiken Abendlands, Kommentar, II, Wiesbaden 1976, σσ. 206-230, ἰδίως σσ. 219 καὶ 224, Jean-Pierre Sodini, Marques de tâcherons inédites à Istanbul et en Grèce, ἐν (Xavier Barral Altet), Artistes, artisans et production artistique au moyen âge, II, Paris 1987, σσ. 503-518. Ἐκ τῶν ἐκεῖ παρατιθεμένων παραδειγμάτων πλησιεστέρα πρὸς τὴν ἐδῶ ἐκ τῶν δύο γραμμάτων ΡΗ ὁμάδα εἶναι ἡ ΡΕ (ἀπαντᾷ εἰς τὴν Κωνσταντινούπολιν καὶ τὴν Ραβένναν).


2. Εὐκρινέστερον παρὰ Wulzinger ἔνθ' ἀνωτ.

3. Robert Scranton-Edwin Ramage, Investigations at Corinthian Kenchreai, Hesperia 36, 1967, σ. 153, Scranton et all., σ. 63, πίν. XXVII A.



5. Κεγχρεαί. Ἡ παλαιοχριστιανικὴ βασιλικὴ (ἀποκατάστασις τῆς Κατόψεως). Πρώτη φάσις.

